SYNTAGMATION PERI TON HAGION MYSTERION. (OPUSCULUM DE SANCTIS...

Monembasiotes Gabriel Severus

Digitized by Google

Österreichische Nationalbibliothek
+Z162553300

θεται ὡς οἱ ἄνθρωποι. καὶ τῶν μὲν ἀγγέλων τὸ, τῇ ὑπερηφανίᾳ ὑπεῖξαν μόρες, τῆς τιμῆς καὶ τῆς μακαριότητος ἐξέπεσε τῆς ἀρρήτου. τὸ δὲ τῶν ἀνθρώπων ἄπαυγενος, τὴν δεσποτικὴν ἐντολὴν παραβὰς, δεινῶς πεσὸν κατωλίσθησεν. οὔτ᾽ ἄνθρωπον οὔτ᾽ ἄγγελον ἔχον τὸν βοηθήσοντα. ὅθεν τὸ ἄκρον ἀγαθὸν φύσει εὔσπλαγχνον ὂν ηὐδόκησε τὸ σύνθετον καὶ ὑλικὸν ἁπλοῦν γενέσθαι. καὶ τὸν χῶρον ἀναπληρῶσαι, τῶν ἀποστατῶν ἀγγέλων. τὸ δὲ μέσον τὸ ταύτην τὴν ἀξίαν ποιοῦν, τὰ ὑπὸ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν νενομοθετημένα, εἰσὶν ἅγια μυστήρια. Οἷς ὁ μὴ καθὼς ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία, διδάσκει χρώμενος. ἀδύνατον, τῆς δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ἀκοῦσαι μακαρίας φωνῆς. Ταῦτά μοι τοίνυν ἀδελφοὶ συνετέθη συνοπτικῶς ὡς εἴρηται, περὶ τῆς τῶν ἁγίων μυστηρίων πραγματείας. οὓς ἀξιῶ ἐπιμελεῖσθαι τοῦ βραχέως τούτου ἐγχειρήματος, καὶ συνεχῶς διέρχεσθαι καὶ ἀναγιγνώσκειν. ἵνα τὴν τούτου ἕξιν ἔχοντες, οὐ μόνον τοῖς πυνθανομένοις ἀνταποκρίνεσθαι, ἀλλὰ καὶ τοὺς ἀμυήτους διδάσκειν, δυνηθῆτε ῥᾳδίως :~

Τέλος καὶ τῷ θεῷ δόξα.

θεὶς πρὸς τὰς ἐκεῖθε μονάς, ῥαδίως ἀνέρχεσθαι αὐτὸν παρασκευάζει, τῶν ἀερίων ἀκαθάρτων πνευμάτων, προσεγγίσαι οὐ τολμώντων αὐτῷ :~

Περὶ τοῦ τίς ἐστιν ὁ ἐνεργῶν καὶ ὑπηρετῶν τοῦτο τὸ μυστήριον.

Οὐδεὶς ἄλλος δύναται τοῦτο ἐνεργῆσαι, ἀλλ' ἢ μόνον οἱ ἱερεῖς. προσκαλεσάσθω φησὶν ὡς εἴρηται ὁ θεῖος ἰάκωβος, τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας :~

Περὶ τοῦ τίνος ἕνεκεν ὁ θεὸς τὰ μυστήρια τὰ θεῖα τῇ ἐκκλησίᾳ παρέδωκεν.

Ὁ θεὸς ἐστὶ τὸ ἄκρον ἀγαθόν, ἐν ᾧ οὔτε φθόνος ἐστίν, οὔτε ἀδυναμία. Διὸ καὶ τοῖς οὖσι κοινωνεῖ ἀφθόνως καὶ δυνατῶς τὴν αὐτοῦ ἀγαθότητα μετοχικῶς, αὐτὸς ἀμέθεκτος, καὶ ἀμείωτος μένων. μᾶλλον δὲ τοῖς λογικοῖς, ὡς συγγενεστέροις καὶ κρείττοσι κοινωνεῖ. οἷς καὶ τὸ γινώσκειν ἐδωρήσατο. καὶ γὰρ ἐκ τῆς γνώσεως γίνεται ὁ ἔρως τοῦ ἐγνωσμένου. καὶ ἐκ τοῦ ἔρωτος, γίνεται ἡ τέρψις. καὶ ἐκ τῆς τέρψεως, ἡ ἀπόλαυσις. τῶν δὲ λογικῶν τὰ μὲν, εἰσὶν ἁπλᾶ ὡς οἱ ἄγγελοι. τὰ δὲ, σύνθετα

θετα

φον δεῖ ἔχειν μυστήριον.

Πρῶτον ὕλην ἐξωτερικήν.

Δεύτερον, εἰς φέρειν χάριν.

Τρίτον, εἶναι ὑπὸ τοῦ κυ νενομοθετημένον.

Ταῦτα πάντα ἔχει τοῦτο τὸ μυστήριον, ἤγουν.

Ὕλην ἐξωτερικήν, τὸ καθαρὸν ἔλαιον.

Εἰς φόρειν χάριν; ὅτι ἀφίησιν ἁμαρτίας.

Καὶ τὸ εἶναι ὑπὸ τοῦ κυ νενομοθετημένον.

Εἰ γὰρ ὁ χς τοῖς ἀποστόλοις τοῦτο μὴ ποιεῖν ἐνετείλατο, οὐκ ἂν ἤλειφον τοὺς ἀρρώστους ἐλαίῳ. ὡς εἴρηται.

Περὶ τοῦ τί τὸ εἶδος.

Τὸ εἶδος ἐστὶ τὰ ἐπὶ τοὺς νοσοῦντας ῥήματα, τὰ παρὰ τῶν ἱερέων ἐπαδόμενα. δύναμιν ἔχοντα, τοῦ ἀφιέναι τὰς ἁμαρτίας. καὶ τὰς νόσους θεραπεύειν, τῶν πιστῶς τοῦτο λαμβανόντων :~

Περὶ τοῦ χρησίμου αὐτοῦ καὶ τοῦ τέλους.

Τὸ μὲν χρήσιμον αὐτοῦ καὶ τὸ τέλος ἐστίν;

Ὅτι ἀφίησιν ἁμαρτίας.

Παρέχει τὴν ἴασιν τοῖς νοσοῦσι.

Καὶ πρὸς τούτοις, ἂν τῶν ὧδε ἀπέλθῃ ὁ χρι-

σκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας,
καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες αὐ-
τὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ κῦ. καὶ ἡ εὐχὴ τῆς
πίστεως σώσει τὸν κάμνοντα. καὶ ἐγερεῖ αὐτὸν
ὁ κς͂, κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται
αὐτῷ.

Ἔτι ὁ εὐαγγελιστὴς μάρκος ἐν κεφαλαίῳ ἕκ-
μαρ. ς. τῳ. καὶ ἤλειφον φησὶν ἐλαίῳ πολλοὺς ἀρρώ-
στους, καὶ ἐθεράπευον.

Τίς ὁ τοῦτο νομοθετήσας.

Ὁ τὸ μυστήριον τοῦτο νομοθετήσας, ἐστὶν ὁ κς͂ ἡμῶν ἰς͂ χς͂. οἱ δὲ ἀπόστολοι ὑπηρετικῶς ἐνήργουν αὐτό. κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ εὐαγγελιστοῦ μάρκου. καὶ ἤλειφον φησὶν ἐλαίῳ πολλοὺς ἀρρώστους, καὶ ἐθεράπευον. ἐξ ὧν ἡ καθολικὴ ἐκκλησία τὴν παράδοσιν ταύτην παραλαβοῦσα, τοῦτο τοῖς πιστοῖς καὶ ὀρθοδόξοις προσφέρει, ψυχοφελὲς ὂν καὶ σωτήριον· κἂν γὰρ ἁμαρτίας φησὶν ὁ θεῖος ἰάκωβος ᾖ πεποιηκὼς ἀφεθήσεται αὐτῷ.

Περὶ τοῦ εὐχελαίου ὅτι μυστήριον.

Τὸ μυστήριον τρία τινὰ δέον ἔχειν, ὅτι τρία τινὰ ἕκα-
στον

Περὶ τοῦ μυστηρίου τοῦ εὐχελαίου.

Ταῦτα ζητεῖται περὶ τοῦ μυστηρίου τοῦ εὐχελαίου. ἤγουν ζητοῦμεν.

α΄. Τὸν ὅρον αὐτοῦ.
β΄. Τίς ὁ τοῦτο νομοθετήσας
γ΄. Εἰ μὲν ἐστὶ μυστήριον.
δ΄. Τίς ἡ αὐτοῦ ὕλη.
ε΄. Τί τὸ εἶδος.
ϛ΄. Τί τὸ αὐτοῦ ἔργον
ζ΄. Τίς ὁ ἐνεργῶν

Ὅρος εὐχελαίου.

Εὐχέλαιον ἐστὶ χρῖσμα δι' ἐλαίου καθαροῦ κατασκευασμένον ὑπὲρ τῶν ἐν ἀσθενείᾳ κατακειμένων. δύναμιν ἔχον διὰ τῆς εὐλογίας τῆς ἱερατικῆς, ἴασιν ψυχικὴν καὶ σωματικὴν παρέχειν τῷ νοσοῦντι.

Τοῦτο μαρτυρεῖ ὁ ἅγιος ἀπόστολος ἰάκωβος ἐν κεφαλαίῳ ϛ΄. λέγων. ἀσθενεῖ τίς ἐν ὑμῖν, προσ-

δρα ἐκ τῆς αὐτοῦ συζύγου, καὶ τὴν γυναῖκα τοῦ ἀνδρὸς αὐτῆς διασπῶσι καὶ διαζύγιον ποιοῦσιν, ἐν τῷ τετάρτῳ βιβλίῳ τοῦ Ἁρμενοπούλου, ἐν τῷ ιβ'. τίτλῳ εὑρήσεις ἀκριβῶς. Ἔτι καὶ ἐν τῷ ἐννάτῳ κανόνι τοῦ ἁγίου καὶ μεγάλου πατρὸς ἡμῶν Βασιλείου. ἃς ἡμεῖς ἐνταῦθα οὐ κατεγράψαμεν τῇ συντομίᾳ χρώμενοι.

κεφ. η'. Περὶ τοῦ τίς ἡ ὕλη τοῦ γάμου.

Ἡ μὲν ὕλη τοῦ συνοικεσίου καὶ τοῦ γάμου κατὰ τοὺς ἀρίστους τῶν διδασκάλων ἐστὶν, ἡ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς ἀλλήλους κατάνευσις.

κεφ. θ'. Περὶ τοῦ εἴδους.

Τὸ δὲ εἶδος ἡ ὁμολογία τῶν ῥημάτων αὐτῶν. ἐστὶ τῶν ἐκεῖ καθ' εὑρεθέντων. ἤγουν θέλεις με; θέλω σε.

Περὶ τοῦ πόσα καὶ ὁποῖα εἰσὶ τὰ τὸν γάμον κωλύοντα, μὴ γίγνεσθαι. καὶ ποῖα εἰσὶ τὰ τοῦτον διασώοντα. κεφ. ζ.

Τὰ κωλύοντα τὸ συνοικέσιον τοῦ μὴ γίγνεσθαι, εἰσὶ ταῦτα.

α. Ἡ συγγένεια ἡ ἐξ αἵματος.

β΄. Ἡ ἐξ ἀγχιστείας,

γ΄. Ἡ ἐκ τοῦ ἁγίου βαπτίσματος πνευματικὴ συγγένεια.

δ΄. Ἡ ἐκ τῆς υἱοθεσίας. ἀνάγνωθι τὰ περὶ τούτων ἐν τῷ βιβλίῳ τῷ τετάρτῳ τοῦ ἁρμενοπούλου, τίτλῳ ϛ΄. καὶ τοῦ ματθαίου τοῦ βλαστάρεως περὶ τῶν βαθμῶν τοῦ γάμου, καὶ μαθήσῃ τὰ περὶ τούτων διεξοδικώτερον.

ε. Ἔτι εἰ δι᾽ ὅρκου ὑποσχέθη τὸ ἀγγελικὸν τῶν μοναχῶν ἐνδύσασθε σχῆμα. τοῦτο τῇ κρίσει μοι δοκεῖ καὶ τῇ ἀκριβῇ δοκιμῇ τῶν ἀρχιερέων ἀπόκειται.

ϛ΄. Εἰ διακόνου, ἢ ὑπὸ διακόνου ἔλαβε τάξιν.

ζ΄. Καὶ εἰ μὲν αἱρετικὸς, ἢ ἀσεβὴς ἐστὶν ὁ μέλλων γήμασθαι. τὰ περὶ τούτου ὁ δεύτερος τῆς ϛ΄ συνόδου κανὼν σαφῶς θεσπίζει.

Ὅσαι δὲ αἰτίαι καὶ ὁποῖαι εἰσὶν, αἱ τὸν ἄν-

Περὶ τοῦ πόσα δεῖ ἔχειν τὸν νόμιμον γάμον.

Πρῶτον δεῖ ἔχειν σκοπὸν προηγουμένως πρὸς τὸ παιδοποιῆσαι, καὶ πληρῶσαι τὴν ἐντολὴν τοῦ αὐξάνεσθε καὶ πληθύνεσθε κελεύσαντος θεοῦ. οὐ μὴν δὲ καὶ χάριν λαγνείας ἢ ἐνηδόνου καὶ αἰσχρᾶς μίξεως.

Δεύτερον ἔχειν σκοπὸν ἑνωθῆναι οὐχὶ σαρκικῶς μόνον, ἀλλὰ καὶ ψυχικῶς τῇ αὐτοῦ γυναικί.

ἕνωσις τριχῆ.

Ἰστέον δέ, ὅτι ἡ ἕνωσις τριχῶς ἐννοεῖται. ἔστι μὲν ἕνωσις σαρκὸς καὶ οὐ ψυχῆς, ὡς τῶν πόρνων καὶ τῶν ἀσελγῶν. ἔστιν ἕνωσις ψυχῆς μόνης πρὸς ψυχήν, καὶ οὐχὶ πρὸς σάρκα, ὡς ἡ τοῦ δικαίου ἰωσὴφ μετὰ τῆς ἀειπαρθένου.

Καὶ ἔστιν ἕνωσις σαρκὸς καὶ ψυχῆς, ὡς τοῦ νομίμου γάμου. καὶ γὰρ ἀμφότεροι δεῖ τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὸν γάμον φυλάττειν ἀμόλυντον.

Τρίτον δέον ἔχειν τοὺς μέλλοντας γήμασθαι, τὴν ἡλικίαν νόμιμον. ἤγουν ὁ μὲν ἀνήρ, ὑπὲρ τὰ δεκατέσσαρα ἔτη. ἡ δὲ γυνὴ ὑπὲρ τὰ δεκατρία.

Πέμπτον δέον εἶναι τὸν γάμον συνεζευγμένον, διὰ τοῦ ἱερέως καὶ τῶν ὑπ' ἐκείνου ἀναγινωσκομένων, εὐχῶν καὶ εὐλογήσεων.

Περὶ

χὴ μετὰ τοῦ θεοῦ. ἥτις ἔςαι ὅταν κληρονομήσωμεν τὴν ἡτοιμασμένην ἡμῖν βασιλείαν. καὶ ἐσόμεθα σὺν χῷ. Λέγει καὶ ὁ ἐπιςήθιος ἰωάννης, ἐν κεφ. ιθ΄. τῆς ἀποκαλύψεως. χαίρωμεν καὶ ἀγαλλιώμεθα καὶ δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου.

Ἡ δὲ κρυφὴ μνηςεία, ἡ μὴ ἐπὶ παρουσίας πολλῶν ἢ ὀλίγων γινομένη ἀνδρῶν, ἀλλὰ κρυφίως. ἥτις ἐκωλύθη ὡς ἀπατεών, καὶ ὡς φέναξ, παρὰ τῶν ἱερῶν νόμων. φησὶ γὰρ ὁ ἁρμενόπουλος ἐν βιβλίῳ τετάρτῳ, τίτλῳ τετάρτῳ. μηδεὶς μυςικῶς ςεφανούσθω, ἀλλὰ παρόντων πλειόνων, ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι, σωφρονιζέσθω τιμωρούμενος, δηλονότι καὶ τοῦ ἱερέως, ὡς τοῖς ἀπρεπέσιν ἑαυτὸν ἐμβάλλοντος, τὰς ἀξίας ἀθλίας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαςικῶν κανόνων διάταξιν.

ὅτι οὐ δεῖ κρυφίως γάμον ποιεῖν.

Μνηςεία δὲ ἡ φανερὰ καὶ ἐπὶ πολλῶν γινομένη. ἐςὶν ἡ τοῦ νυνὶ μυςηρίου. ἥτις βεβαιοῦται μὲν διὰ τῆς πρὸς ἀλλήλους τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς συναινέσεως νομίμου, καὶ τῶν ῥημάτων τοῦ θέλω σε δηλονότι. καὶ γὰρ οὐ τὸ συγκαθῆσαι ἀλλήλους τὸν ἄνδρα καὶ τὴν γυναῖκα τὸν γάμον συνίςησιν, ἀλλ' ἡ νόμιμος αὐτῶν συναίνεσις ὡς εἴρηται, εὐλογεῖται δὲ καὶ τιμᾶται διὰ τῆς τοῦ ἱερέως παρουσίας καὶ εὐλογίας ὡς μυςήριον :~

Περὶ

κορ. ά. χέτω γυναῖκα, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ὡς εἴρηται.

κεφ. ζ'. Ἰστέον δὲ ὅτι κατὰ τὸν ἄριστον διδάσκαλον πενταχῶς ἐστὶν ἡ μνηστεία.

Ἀλληγορικῶς

Τροπολογικῶς.

Ἀναγωγικῶς.

Ἐν κρυπτῷ γιγνομένη.

Καὶ ἡ ἐν φανερῷ.

Καὶ κατὰ ἀλληγορίαν μὲν, ὅταν ὁ λόγος τοῦ θεοῦ σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. ταύτης τῆς μνηστείας ἡ ἀρχὴ ὑπῆρχεν ἐν τῷ ἀδάμ.

Ἡ ἐπιτέλεσις, ἐν τοῖς προπάτορσι.

Ἡ συνέχεια, ἐν τοῖς προφήταις.

Ἡ βιβαίωσις, ἐν τῇ ἐνσάρκῳ οἰκονομίᾳ.

Ἡ ὕψωσις, ἐν τῷ γάμῳ τῷ ἐν κανᾷ τῆς γαλιλαίας.

Ἡ τελείωσις, ἐν τῷ σταυρῷ.

Ἡ δὲ κατὰ τροπολογίαν, ἤγουν κατὰ ἠθοποιΐαν ἐστὶν, ἡ ἕνωσις τοῦ νοὸς μετὰ τῆς σοφίας. σολο- ὡς ὁ σολομῶν ἐν κεφ. η' τῆς σοφίας. ταύτην φησὶν μῶν. ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου. καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. καὶ πάλιν, ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν.

Ἡ δὲ κατὰ ἀναγωγίαν καὶ θεωρίαν, ἐστὶν, ἡ ψυ-

χή

αὐτοῦ, ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, ὡς μέλλουσιν ἐν παραβάσει γίνεσθαι καὶ θανάτῳ κατακρίνεσθαι, προλαβὼν ἐποίησε τὸ ἄρρεν καὶ τὸ θῆλυ, καὶ αὐξάνεσθαι καὶ πληθύνεσθαι προσέταξεν.

Ἔτι δὲ φησὶν ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο σάρκα μίαν.

Περὶ τοῦ διὰ τί τέλος ἐπενοήθη ὁ γάμος.

Πρῶτον πρὸς παιδείαν καὶ τήρησιν τοῦ εἴδους. διὰ γὰρ τὸ μὴ ἐκτριβῆναι καὶ ἀναλωθῆναι τὸ γένος. ὑπὸ τοῦ θανάτου, ὁ γάμος ἐπινενόηται φησὶν ὁ Δαμασκηνὸς ὡς ἂν διὰ τῆς παιδοποιίας τὸ γένος τῶν ἀνθρώπων διασώζεται. διὸ εἶπεν ὁ θεὸς αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν. καὶ ἐν πρὸς τούτοις ἕτερον εἶπεν. ὃ οὐδενὶ τῶν ἄλλων εἴρηται ζώων. τὸ κατακυριεύσατε αὐτῆς, ἀλλὰ μόνῳ τῷ ἀνθρώπῳ. ὅτι μόνος ὁ ἄνθρωπος, κατ᾽ εἰκόνα ἐστὶ τοῦ θεοῦ καὶ καθομοίωσιν.

βι. δ. κεφ. ρα.

Δεύτερον πρὸς θεραπείαν καὶ κατάπαυσιν τῆς τυράννου ἡδονῆς. Διὰ γὰρ τὰς πορνείας ἕκαστος φησὶν ὁ μακάριος Παῦλος, τὴν ἑαυτοῦ ἐ-

σεως τρόπου, πῶς ἐν ἀπείροις μυριάσιν ἐκεῖνοι, καὶ μία οὐσία ὄντες, καὶ ἐν πολλοῖς ἀριθμούμενοι :~

Η δὲ πραγματικὴ καὶ πρὸς πληθυσμὸν τέκνων, ἐστὶν ἡ τοῦ χριστοῦ μετὰ τῆς ἐκκλησίας. Νυμφίος γὰρ τῆς ἐκκλησίας ὁ χριστός. ἡρμοσάμην γὰρ ὑμᾶς

κορινθ. β΄. φησὶν ὁ μακάριος παῦλος ἑνὶ ἀνδρὶ παρθένον

κεφ. ιβ΄. ἁγνὴν, παραστῆσαι τῷ χριστῷ. ἐν ᾧ ῥητῷ φησὶν ὁ θεῖος χρυσόστομος. ὅτι τύπος ἦν τὰ ἐπὶ τοῦ ἀβραὰμ ταύτης τῆς μνηστείας. καὶ γὰρ ἐκεῖνος τὸν παῖδα τὸν πιστὸν ἔπεμψε μνηστευσάμενον κόρην ἐθνικήν. καὶ ἐνταῦθα ἔπεμψεν ὁ θεὸς, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ, μνηστευσαμένους τῷ παιδὶ τὴν ἐκκλησίαν. αὕτη ἡ μνηστεία διὰ τοῦ θείου βαπτίσματος, καὶ τῆς ἄνωθεν γεννήσεως, τέκνα γεννᾷ εἰς πληθυσμὸν ἄπειρα. διὸ καὶ ὁ προφήτης ταῦτα προ-

ἡσαΐας. βλέπων ἔλεγεν, Ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Περὶ τοῦ τίς τὸν γάμον ἐνομοθέτησεν.

Ἔδειξε τοῦτον ἐναργῶς ὁ κύριος ἐν κανᾷ τῆς γαλιλαίας, ὅτι θέλημα ἐκείνου ἡ ἔννομος συζυγία καὶ ἡ ἐξ αὐ-

ἰω. β΄. τῆς παιδοποιΐα. καὶ γὰρ προειδὼς ὁ θεὸς, φησὶν ὁ

δαμασκ. θεῖος δαμασκηνὸς ἐν βιβλίῳ τετάρτῳ, κεφαλαίῳ ρα΄ ἐν τῷ περὶ παρθενίας, τῆς προγνώσει

αὐτοῦ

Ἡ δὲ σαρκικὴ καὶ πρὸς πληθυσμὸν τέκνων, ἣν ἡ τοῦ ἀδὰμ καὶ τῆς εὔας, ἥτις διήκει καὶ μέχρι τὴν σήμερον, καὶ διελάσεται μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Φησὶ γὰρ ὁ θεῖος χρυσόστομος, ἐν ὁμιλίᾳ ιε΄. τῆς ἑξαημέρου, ἧς ἡ ἀρχὴ, πολλὰς ὑμῖν ἔχω χάριτας. χρυσοστόμου.
„ Ὅτι μετὰ τὴν παράβασιν τὰ τῆς συνουσίας γέ-
„ γονεν, ἐπεὶ μέχρις ἐκείνου καθάπερ ἄγγελοι
„ διῃτῶντο ἐν τῷ παραδείσῳ, οὐχ ὑπὸ ἐπιθυμίας
„ φλεγόμενοι.

Ἔτι κἂν τῇ ὁμιλίᾳ τῇ ιη΄ φησὶν, ὅτι μετὰ τὴν
„ ἔκπτωσιν τὴν ἐκ τοῦ παραδείσου, τότε ἡ συνουσία
„ ἀρχὴν λαμβάνουσα ἄρχεται. πρὶν γὰρ τοῦ παρα-
„ βῆναι τὴν ἐντολὴν τὴν δεσποτικὴν τὸν ἄνθρωπον ἀγ-
„ γελικῶς βιῶν, οὐδὲν τοιοῦτον ὑπῆρχεν αὐτῷ.

Ὁ δὲ γρηγόριος ὁ μέγας, τῆς νυσσαέων ἐκκλη- γρηγόρ.
„ σίας ταῦτα φησὶν, ἐν τῷ περὶ τῆς τοῦ ἀνθρώπου κατα- νύσσης.
„ σκευῆς ἔνθα τινὲς ἀπορουντες ἔλεγον, εἰ μετὰ
„ τὴν ἁμαρτίαν ἡ παιδοποιΐα, πῶς ἂν ἐγένοντο
„ αἱ ψυχαὶ, εἰ ἀναμάρτητοι διέμειναν οἱ ἐξ ἀρχῆς
„ ἄνθρωποι; οἷς ὁ πατὴρ ἀμείβεται λέγων. Ὅτι καθά-
„ περ οἱ ἄγγελοι. εἰ δὲ στενοχωρεῖ ταῦτα τὶς ἐπιζη-
„ τῶν τὸν τῆς γενέσεως τῶν ἀνθρώπων τρόπον, εἰ μὴ προ-
„ σεδεήθη τῆς διὰ τοῦ γάμου συνεργίας ὁ ἄνθρωπος, ἀντε-
„ ρωτήσωμεν καὶ ἡμεῖς τὸν τῆς ἀγγελικῆς ὑποστά-

παρθενείαν βεβηλώσασα, μνηστῆρα εἶχε τοῦ βίου φύλακα. οὐδὲν τῆς παρθενείας ἐκ τῆς μνηστείας παραβλαβείσης. Ἔτι εἴρηται δὲ τῶν παλαιῶν τινί, καὶ ἕτερος λόγος, ὅτι ὑπὲρ τοῦ λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, τὴν παρθενίαν τῆς μαρίας, ἡ τοῦ ἰωσὴφ ἐπενοήθη μνηστεία. οἷον μὲν γὰρ μετεωρισμὸς τῷ πονηρῷ, τὸ σχῆμα τῆς μνηστείας, περὶ τὴν παρθένον ἐπενοήθη, πάλαι ἐπιτηροῦντι τὰς παρθένους, ἀφ' οὗ ἤκουσε τοῦ προφήτου λέγοντος. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, ἀπεβουκολήθη οὖν διὰ τῆς μνηστείας, ὁ ἐπίβουλος τῆς παρθενείας.

Θεοφυλάκτου. ματθ. κεφ. α΄.

Ὁ δὲ Θεοφύλακτος βουλγαρίας συνῳδὰ τούτῳ φησί. τίνος ἕνεκεν οὖν συνεχώρησεν ὁ θεὸς μνηστευθῆναι ταύτην; ἵνα φησὶν ἔχῃ τὸν κηδεμόνα ἐν ταῖς συμφοραῖς. οὕτως γοῦν καὶ ἐν τῇ εἰς αἴγυπτον φυγῇ ἐπιμελήθη αὐτῆς, καὶ διέσωσεν αὐτήν. ἅμα δὲ ἵνα λάθῃ τὸν διάβολον, διὰ τοῦτο ἐμνηστεύθη. Ὁ γὰρ διάβολος ἀκούσας ὅτι ἡ παρθένος ἐν γαστρὶ ἕξει, ἐπετήρει τὰς παρθένους. ἵνα τοίνυν ἀπατηθῇ ὁ ἀπατεών, μνηστεύεται τὴν παρθένον ὁ ἰωσὴφ. καὶ σχῆμα γίνεται συζυγίας, πρᾶγμα δὲ οὔ. καὶ αὕτη μὲν ἐστὶν ἡ μνηστεία, ἡ οἰκονομικὴ καὶ οὐ δόλως σαρκική, καὶ οὔτε πρὸς πληθυσμὸν τέκνων.

Ἡ δὲ

σώπου, τοῦ ὑπαρκτικοῦ ῥήματος. ἤγουν οἱ συνῶσι
προαιρεθέντες. ἔσονται γὰρ φησὶν οἱ δύο εἰς ματ. ιθ.
σάρκα μίαν. Συνάφεια ἀπὸ τῆς συνπροθέσεως, κορινθ. ά.
καὶ τῆς ἀφῆς. οὐ γὰρ ἔξω ἑκατέρῳ μέρει, τὴν συ- ς'.
νάφειαν ἑτέρῳ ἀλλοτρίῳ παρέχειν μέρει. ἕκα- κορινθ. ά.
στος γὰρ φησὶν ὁ θεῖος παῦλος τὴν ἑαυτοῦ γυναῖ- ζ'.
κα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα.

Λέγεται καὶ ἔννομος συζυγία. πρὸς διαστολὴν τῶν μὴ νομίμως καὶ εὐαγγελικῶς, συγγινομένων ἀνδρῶν τε καὶ γυναικῶν.

Περὶ τῆς διαιρέσεως τῆς μνηστείας καὶ τοῦ γάμου.

Διαιρεῖται μὲν ἡ μνηστεία καὶ ὁ γάμος τριχῆ. εἰς οἰκονομικὴν, καὶ οὐδόλως σαρκικὴν, καὶ οὐ πρὸς πληθυσμὸν τέκνων.

Εἰς σαρκικὴν καὶ πληθυσμὸν τέκνων.

Εἰς πραγματικὴν, καὶ πληθυσμὸν τέκνων.

Καὶ ἡ μὲν οἰκονομικὴ καὶ οὐδόλως σαρκικὴ, καὶ
οὐ πρὸς πληθυσμὸν τέκνων. ὑπῆρχεν ἡ τοῦ δι-
καίου ἰωσὴφ μετὰ τῆς ἀεὶ παρθένου θεοτόκου. βασιλείου
φησὶ γὰρ ὁ μέγας βασίλειος. καὶ παρθένος χριστοῦ γεν-
καὶ μεμνηστευμένη ἀνδρί. εἶτα. ὁμοῦ δὲ ἵνα καὶ νήσεως.
μάρτυς οἰκεῖος ᾖ τῆς καθαρότητος μαρίας ὁ ἰω-
σὴφ, καὶ μὴ ἔκδοτος εἴη τοῖς συκοφάνταις, ὡς τὴν

παρ-

Συνάφεια.

Ἔννομος συζυγία.

Γάμος λέγεται, παρὰ τὸ δαμῶ τὸ δαμάζω γίνεται δάμος, καὶ γάμος. ἤγουν ὁ δαμαστικὸς τῶν θηλειῶν. οἱ δὲ παρὰ τὸ γενναῶ γάμος. ἢ καὶ παρὰ τὸ δύο ἅμα εἶναι, καὶ κατὰ μετάθεσιν τοῦ δ. εἰς γ.

ἐφεσ. ε. Λέγεται δὲ ὕπανδρεία, παρὰ τῆς ὑπὸ προθέσεως καὶ τοῦ ἀνδρός, οἷον ἡ ὑπὸ ἀνδρὶ οὖσα. ὁ γὰρ ἀνὴρ τῆς γυναικός ἐστι κεφαλὴ κατὰ τὸ γεγραμμένον.

Λέγεται μνηστεία, παρὰ τὸ τὴν μνήμην ἱστάναι δεῖν, ἐν τῇ μνηστευομένῃ. οὐ θέμις γὰρ ἄλλης μνημονεύειν, ἀλλ᾽ ἧς ἐμνηστεύθη νομίμως.

Λέγεται ἀῤῥαβὼν, οἷον εἰ ἀῤῥαγὼν τὶς ὤν. ἀφ᾽ οὗ γὰρ δοθῇ ὁ ἀῤῥαβὼν, οὐ μετακινεῖται εἰς ἄλλον, ἢ παρὰ τὸ ῥαβὶς, ῥαιβὼν, καὶ ἀῤῥαβών. κατὰ προσθήκην τοῦ α στερητικοῦ, καὶ ἀποβολὴν τοῦ ι, ἀῤῥαβών. ὁ μὴ συγχωρῶν ῥαιβὴν γενέσθαι, τὴν στάσιν τῶν συναλλαττόντων.

Λέγεται συνοικέσιον, ἀπὸ τῆς σὺν προθέσεως καὶ τοῦ οἴκω. ἤγουν οἱ συνοικεῖν ὁμοῦ ἀχωρίστως θελήσαντες.

Λέγεται ἕνωσις, ἀπὸ τοῦ ἓν ἀριθμητικοῦ ὀνόματος, καὶ τοῦ ὦσιν ὑποτακτικοῦ τρίτου προ-

σώπου

ϛ΄. Πόσα δεῖ ἔχειν τὸν νόμιμον γάμον.
ζ΄. Καὶ πόσα εἰσὶ τὰ κωλύοντα τὸν γάμον.
η΄. Τίς ἡ ὕλη τοῦ συνοικεσίου,
θ΄. Καὶ τί τὸ εἶδος.

Περὶ τοῦ τί ἐστι γάμος.

α΄. Γάμος ἐστὶν ἀνδρός τε καὶ γυναικὸς συνάφεια. καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία. ἐκ τοῦ ἀφ᾽ μλβ᾽ ὀπτ. λου.

καὶ ἄλλως.

Γάμος ἐστὶ μυστήριον, δι᾽ οὗ συνάπτονται ὅτε ἀνὴρ καὶ ἡ γυνὴ, καὶ συνέχεται ἡ συγκλήρωσις τῆς αὐτῶν ζωῆς ἀχώριστος :~

Περὶ τοῦ ποσαχῶς λέγεται ὁ γάμος. κεφ. β΄.

Λέγεται γάμος.
Λέγεται, συνανδρεία.
Μνηστεία.
Ἀρραβὼν
Συνοικέσιον.
Ἕνωσις.

Συνά-

Συμπαθεῖν

Ὑπομένειν ἀνδρείως, τὰ ὑπὸ θεοῦ πεμπόμενα λυπηρὰ, ἢ καὶ ὑπὸ τῶν ἀνθρώπων.

Καὶ ἱκετεύειν καὶ παρακαλεῖν τὸν θεὸν, οὐ μόνον ὑπὲρ ἑαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ πάντων. Ταῦτα πάντα χρήσιμα δρᾶν, καὶ ἀνιχνεύειν ὡς εἰκὸς, τὸν πνικὸν δεῖ.

Ἔτι ὑπὸ σώφρονα, εἰ διατηρεῖ τὸν νοῦν ἄτρωτον, πρὸς τὸ μὴ δέχεσθαι τὰς προσβολάς. καὶ ῥαδίως πρὸς τὰς συγκαταβάσεις, καὶ συγκαταθέσεις, καὶ τὰς πράξεις, τὰς σαρκικὰς ἄγεσθαι.

Ἔτι εἰ ἀσφαλῶς τὰς αἰσθήσεις διαφυλάττει, ὥστε μηδὲν τῶν αὐτῶν ἴδιον ἑκάστη ἐμπαθῶς ἐνεργεῖν.

Περὶ τοῦ μυστηρίου τοῦ γάμου.

Περὶ δὲ τοῦ μυστηρίου τοῦ γάμου συνεπτυγμένως ταῦτα σκεπτέον, καὶ πρῶτον.

α. Τί ἐστι γάμος.
β. Ποσαχῶς λέγεται
γ. Τὴν διαίρεσιν αὐτοῦ.
δ. Τίς τοῦτον ἐνομοθέτησε.
ε. Διατί τέλος.

Πόσα

ιβ'. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος ἀμήν.

Ἔτι ἐπερωτᾶν αὐτὸν, εἰ μὲν ἀμφιβάλλει, περὶ τὰ ἑπτὰ μυστήρια τῆς ἐκκλησίας, τὰ εἰρημένα.

Ἔτι ἐπερωτᾶν εἰ μὲν οὐ χρᾶται, τοῖς καρποῖς ἔργοις τῆς ἐλεημοσύνης, ἅπερ εἰσὶ ταῦτα. ματθ. κε.

Τὸ διδόναι φαγεῖν τῷ πεινῶντι, κατὰ τὸ εἰρημένον, ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν. ματθ. κε.

Τὸ διδόναι πιεῖν τοῖς διψῶσι, κατὰ τὸ, ἐδίψησα καὶ ἐποτίσατέ με.

Τὸ ἀποδέχεσθαι τοὺς ξένους, κατὰ τὸ, ξένος ἤμην καὶ συνηγάγετέ με.

Τὸ ἐνδύειν τοὺς γυμνοὺς, κατὰ τὸ, γυμνὸς ἤμην καὶ περιεβάλλετέ με.

Τὸ ἐπισκέπτεσθαι τοὺς ἀσθενεῖς, κατὰ τὸ, ἀσθενὴς ἤμην, καὶ ἐπεσκέψασθέ με.

Τὸ εἰς φυλακὴν ἀπιέναι, κατὰ τὸ ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με.

Πρὸς τούτοις δὲ ἔτι, καὶ τὸ συνακολουθεῖν, πρὸς τὸ θάπτειν τοὺς νεκρούς.

Εἰσὶ καὶ ἄλλα πνευματικὰ ἔργα, ὡς τὸ παρηγορεῖν τοὺς τεθλιμμένους.

Συμβουλεύειν τὰ σωτηριώδη.

Διδάσκειν.

Νουθετεῖν

πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός. Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

γ'. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα, ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα.

δ'. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν, ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα.

ε'. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς.

ς'. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός.

ζ'. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς. οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

η'. Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. Τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

θ'. Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν.

ι'. Ὁμολογῶ ἓν βάπτισμα, εἰς ἄφεσιν ἁμαρτιῶν.

ια'. Προσδοκῶ ἀνάστασιν νεκρῶν.

καὶ

Τοῦ φθόνου οἱ κλάδοι εἰσὶν οὗτοι.

Ἡ καταλαλιά.
Ἡ φήμη ἡ κακή
Ὁ ψόγος.
Ἡ προδοσία.
Καὶ ἡ ἀρχὴ τοῦ κακοῦ.

Τῆς ἀκηδείας οἱ κλάδοι, εἰσὶν οὗτοι.

Τὸ μὴ προθύμως ποιεῖν τὸ ἔργον τοῦ θεοῦ.

Τὸ μὴ σπουδαίως, εἰσέρχεσθαι εἰς τὴν ἐκκλησίαν.

Τὸ μὴ ταχέως ἐγείρεσθαι εἰς τὴν προσευχήν.

Τὸ μὴ ὑπομονητικῶς ἀκροᾶσθαι, τῆς θείας λειτουργίας, καὶ τῶν διδαχῶν, καὶ τῶν ἄλλων τῆς ἁγίας ἐκκλησίας τελετῶν.

Τρίτον δεῖ ἐπερωτᾶν, εἰ μὲν ἀμφιβάλλει περὶ τὰ ιβ'. ἄρθρα τῆς πίστεως, ἅπερ εἰσὶ ταῦτα.

α'. Πιστεύω εἰς ἕνα θεόν, πατέρα παντοκράτορα. ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

β'. Καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, πρὸ

Λοιδορίας,
Ἀπογνώσεις,
Μάχαι,
Ἔριδες,
Φιλονεικίαι.
Φόνοι,
Κατάραι,
Μνησικακίαι
Μῖσος.
Ψόγοι.
Καὶ τὰ λοιπά.

Τῆς λαιμαργίας οἱ κλάδοι εἰσίν, οὗτοι.

Ἡ γαστριμαργία.
Ἡ καρυκεία.
Ἡ κραιπάλη.
Νόσοι.
Καρηβαρίαι.
Ποδαλγία.
Ἐρεθισμοὶ πρὸς πορνείας.
Ἡ πύρωσις τῆς σαρκὸς τῆς δυσνικήτου.

Καὶ γὰρ καθὼς ὁ ἑωσφόρος, διὰ τῆς ὑπερηφανίας, ἄρχων δαιμόνων, καὶ τοῦ σκότους ἐστίν, οὕτω καὶ ὁ λαίμαργος, ἄρχων παθῶν ἐστίν, καὶ ταμεῖον πάσης ἀκαθαρσίας.

Τοῦ

Τῆς δὲ φειδωλείας, οἱ κλάδοι εἰσὶν οὗτοι.

Η῾ πλεονεξία.
Η῾ ἀνελεημοσύνη.
Η῾ κλοπή.
Η῾ ἁρπαγή.
Η῾ ἐπιορκία.
Η῾ σιμωνία.
Καὶ ὁ τόκος

Τῆς δὲ ἀσωτείας οἱ κλάδοι εἰσὶν οὗτοι.

Η῾ μοιχεία
Η῾ πορνεία.
Ο῾ μολυσμὸς ἤγουν ἡ μαλακία.
Η῾ ἀναίδεια.
Τὰ ἐμπαθῆ φιλήματα.
Αἱ ἐμπαθεῖς τῶν ὀφθαλμῶν ὁράσεις.
Καὶ ἡ ἄλογος ἀρσενοκοιτεία.

Τοῦ δὲ θυμοῦ οἱ κλάδοι εἰσὶν οὗτοι.

Βλασφημία.
Βοαί,
Ὕβρεις

γείη ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς ὁ κς ὁ θεός σου δίδω-σίσοι.

ε΄. Πέμπτη οὐ φονεύσεις.

ϛ΄. Ἕκτη, οὐ μοιχεύσεις,

ζ΄. Ἑβδόμη οὐ κλέψεις,

η΄. Ὀγδόη, οὐ ψευδομαρτυρήσεις.

θ΄. Ἐννάτη οὐκ ἐπιθυμήσεις, τὴν γυναῖκα τοῦ πλησίον σου.

ι΄. δεκάτη, οὐδὲ τὴν οἰσίαν, ἢ τὸν ἀγρὸν, ἢ τὴν παιδίσκην, ἢ τὸ ὑποζύγιον αὐτοῦ,

Εἶτα, εἰ μὲν ἔπραξέ τι, τῶν θανασίμων ἁμαρ-τημάτων. ἅπερ εἰσὶ ταῦτα.

α΄. Ἡ ὑπερηφανία

β΄. Ἡ φειδωλεία.

γ΄. Ἀσωτεία ἢ λαγνεία

δ΄. Θυμὸς

ε΄. Λαιμαργία,

ϛ΄. Φθόνος. καὶ ἡ

ζ΄. Ἀκηδεία

Καὶ τῆς μὲν ὑπερηφανίας, τῆς ἀρχαίας φημὶ κακῆς ῥίζης, οἱ κλάδοι εἰσὶν οὗτοι, ἡ φιλοτι-μία. ἡ κολακεία. ἡ ἀλαζονεία. ἡ ὕβρις. ἡ λοιδο-ρία. ἡ καταγέλασις. ἡ μεγαλαυχία. ἡ ἀνυ-ποταξία, καὶ αἱ λοιπαί,

Τῆς

Καὶ τὴν μὲν, πρὸς τὸν θν̄, διὰ τῆς προσευχῆς δέον ποιεῖν.

Δι' ἧς λαλοῦμεν ὡς ἀληθῶς τῷ θεῷ, καὶ τοῖς ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες, κατὰ τὸν θεῖον χρυσόστομον, Ἐν τῷ περὶ προσευχῆς πρώτω λόγω.

Τὴν δὲ πρὸς τὸν ἑαυτὸν, διὰ τῆς νηστείας, καὶ τῶν ἄλλων σκληραγωγιῶν ἐπιτελεῖν.

Τὴν δὲ, πρὸς τὸν πλησίον, διὰ τῆς ἐλεημοσύνης, καὶ τῆς εὐποιΐας ἱλαρῶς δεικνύειν.

Περὶ τοῦ πόσα καὶ ὁποῖα δεῖ τὸν πνευματικὸν προηγουμένως ἐρωτᾶν, τοὺς πρὸς αὐτὸν προσερχομένους, καὶ μετανοοῦντας ἐφ' οἷς ἥμαρτον. κεφ. ια'.

Καὶ πρῶτον μὲν δεῖ ἐπερωτᾶν, εἰ μὲν ἥμαρτεν, περὶ τὰς δέκα ἐντολάς. αἵτινες εἰσὶν αὗται. ἔξοδ. κ'.

α'. Πρώτη, προσκυνεῖν καὶ λατρεύειν τὸν μόνον ἕνα θν̄. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ φησὶν ὁ θς̄. δέκα ἐντολαί.

β'. Δευτέρα, οὐ λήψῃ τὸ ὄνομα κῡ τοῦ θῡ σου, ἐπὶ ματαίῳ.

γ'. Τρίτη, μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν.

δ'. Τέταρτον, τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος

ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. καὶ σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Τὰς δὲ γονυκλισίας, καὶ τὰς ἀγρυπνίας, καὶ τὰς παννύχους στάσεις, καὶ τὰς ἄλλας τοῦ σώματος κακώσεις, οἱ τῶν ἁγίων καὶ ὁσίων βίοι παριστῶσι, καὶ ἡ τοῦ ἁγίου ἰωάννου τῆς κλίμακος ἐναργῶς, διδάσκει ἡμᾶς βίβλος.

Διὰ πράγματος. ὅταν τις διὰ τῆς εὐποιΐας καὶ
τῆς ἐλεημοσύνης, καὶ τῶν οἰκτιρμῶν τῶν πενήτων
τὸ θεῖον ἐξιλεοῦται. καὶ καθαρίζει τὰς αὐτοῦ ἁμαρ-
δανιήλ. τίας. καθάπερ ὁ προφήτης δανιὴλ τὸν βαλτά-
δ'. σαρ ἐδίδασκε ποιῆσαι. τὰς ἁμαρτίας σου ἔφη-
σεν ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας
σειράχ σου, ἐν οἰκτιρμοῖς πενήτων. καὶ ὁ σειράχ. σύγκλει-
ιβ'. καὶ κβ'. σον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου καὶ αὕτη σε ἐξε-
λεῖ ἐκ πάσης κολάσεως.

τωβίτ Καὶ ὁ τωβίτ. ἡ ἐλεημοσύνη ἐκ θανάτου ῥύε-
ιβ'. ται, καὶ καθαρίζει ἀπὸ ἁμαρτίας.

Καὶ αὕτη μὲν ἡ διὰ τῶν τριῶν τῶν εἰρημένων εἰδῶν, ἱκανοποίησις,

Ἡ πρὸς τὸν θεὸν φημὶ

Καὶ πρὸς τὸν ἑαυτὸν,

Καὶ πρὸς τὸν πλησίον, ἐξαλείφειν ἁμαρτίας δύναται.

Καὶ

νοι προέλθετε ὑπὸ τοῦ διακόνου ἐκφωνηθῇ.

Ὁ δὲ τῆς συστάσεως τόπος ἐστὶν, ἐν ᾧ οἱ μετανοήσαντες, καὶ τὸν ἱκανὸν χρόνον ἐνδειξάμενοι συνίστανται, καὶ συνεύχονται τοῖς πιστοῖς.

Ὁ δὲ, τῆς μεθέξεως τόπος ἐστὶν ἐν ᾧ ἵστανται. οἱ καρποὺς ἀξίους τῆς μετανοίας ποιήσαντες, καὶ σὺν τοῖς λοιποῖς ἀξίως, τῆς θείας μεταλαμβάνουσι κοινωνίας καὶ οὗτοι μὲν εἰσὶν οἱ τόποι, ὡς εἴρηται τῶν μετανοούντων.

Ἴστεον δὲ, ὅτι καὶ ἡ ἱκανοποίησις γίνεται, διὰ στόματος,

Διὰ σώματος,

Καὶ διὰ πράγματος.

Διὰ στόματος μὲν, ὅταν τις διὰ τῆς προσευχῆς τῆς νοερᾶς, καὶ ὕμνων, καὶ ψαλμῳδίας ἐξιλεοῦται τὸ θεῖον. καθάπερ ὁ μέγας ἐκεῖνος ἐποίει
δαδ. ἐκ βαθέων ἐκέκραξά σοι φησὶ καὶ αὖθις. Ἐλέη- δαδ
„ σόν με ὁ θς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ ρκθ. ν̄.
„ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνό- ρμ.
μημά μου. καὶ πάλιν κε ἐκέκραξα πρὸς σὲ εἰσάκουσόν μου.

Διὰ σώματος δὲ, ὅταν διὰ νηστείας καὶ γονυκλισίας, διαγρυπνίας τε, καὶ τῆς παννύχου στάσεως, ἐκλιπαρεῖ τις τὸ θεῖον. καθάπερ ὁ αὐτὸς
ἐποίει προφήτης. Διό φησιν τὰ γόνατά μου ἠ- δαδ.

κεφ. ι. Περὶ τοῦ ὁπόσοι καὶ ὁποῖοι εἰσὶν οἱ τόποι ἐν τῇ ἐκκλησίᾳ, ἐν οἷς οἱ μεταμελήσαντες, τὰς σφῶν ἔκλαιον καὶ κλαίουσιν ἁμαρτίας.

α΄. Ἐστὶ μὲν ἡ πρόσκλαυσις

β΄. Ἡ ἀκρόασις.

γ΄. Ἡ ὑπόπτωσις.

δ΄. Ἡ σύστασις.

ε΄. Καὶ μέθεξις.

Καὶ ὁ μὲν τῆς προσκλαύσεως τόπος ἐστὶν, ὁ ἔξω τῆς θύρας τοῦ εὐκτηρίου, ἐν ᾧ οἱ προσκλαίοντες ἵστανται καὶ τὴν τῶν ἁμαρτιῶν αὐτῶν συγχώρησιν αἰτοῦσιν, παρὰ τῶν εἰσερχομένων καὶ ἐξερχομένων πιστῶν.

Ὁ δὲ, τῆς ἀκροάσεως τόπος ἐστὶν ὁ ἔνδον τῆς θύρας τοῦ ναοῦ, ἤγουν ἐν τῷ νάρθηκι. ἐν ᾧ ἀκροώμενοι ἵστανται, καὶ τῶν ὕμνων καὶ τῆς τῶν θείων γραφῶν ἀναγνώσεως, καὶ διδασκαλίας, ἐπακροῶνται.

Ὁ δὲ τῆς ὑποπτώσεως τόπος ἐστὶν ἔνδον τοῦ ναοῦ, κατόπιν τοῦ ἄμβωνος. ἐν ᾧ ἵστανται οἱ ὑποπίπτοντες. οἵτινες μετὰ τῶν κατηχουμένων ἐξέρχονται τοῦ ναοῦ, ἡνίκα τὸ, ὅσοι κατηχούμε-

μοι

Ὦ πόσα ἀγαθὰ, ὦ πόσους πνευματικοὺς καρποὺς εἰργάσατο καὶ ἐργάζεται ἡμῖν, τοῖς ἁμαρτωλοῖς, ἡ ἁγία καὶ θεία μετάνοια.

Τίς ἐστιν ὁ τὸν λῃστὴν εἰσάξας εἰς τὸν παράδεισον, οὐχὶ ἡ ἁγία μετάνοια;

Τίς τῷ δαβὶδ τὴν ἄφεσιν ἐδωρήσατο, οὐχὶ ἡ μετάνοια;

Τίς τῷ μανασσῆ τὴν συγχώρησιν ἐδωρήσατο, οὐχὶ ἡ μετάνοια;

Τίς τῷ πέτρῳ τὴν ἄφεσιν ἐδωρήσατο, καὶ πρωτοκορυφαῖον τῶν ἀποστόλων ἐποίησεν, οὐχὶ ἡ μετάνοια;

Τίς τὸν ἄσωτον υἱὸν, εἰς τὴν πατρικὴν αὖθις εἰσήγαγεν οἰκίαν, καὶ τοῦ μόσχου τοῦ σιτευτοῦ γεύσασθαι πεποίηκεν, οὐχὶ ἡ μετάνοια;

Τίς τοὺς νινευΐτας, τὸν ἐπαγγελλόμενον ὄλεθρον φυγεῖν ἐποίησεν, οὐχὶ ἡ μετάνοια; Ὦ ἁγία μετάνοια, ἡ διὰ μὲν τῆς ἐξαγορεύσεως τῶν ἁμαρτιῶν, ἄξιον ποιεῖς τὸ στόμα, καθαρίζουσα τοῦτο ἀπὸ τῶν αἰσχρουργιῶν, τοῦ ὑμνεῖν καὶ ψάλλειν τὸν θεὸν μετὰ παρρησίας. Διὰ δὲ τῆς συντρίψεως τῆς καρδίας, οἰκειοποιεῖς τῷ θεῷ, τὸν τὰς ἁγίας αὐτοῦ ἐντολὰς παραβαίνοντα.

Διὰ δὲ, τῆς ἱκανοποιήσεως, τῆς γεέννης πάντως τὸν αὐτὸν ἐξαίρεις.

κεφ. θ'. Περὶ τοῦ ὁποῖοι καὶ ὁπόσοι εἰσὶν οἱ καρποὶ τῆς μετανοίας.

Οἱ καρποὶ τῆς μετανοίας εἰσὶν οὗτοι.

α'. Ἡ ἀποχὴ καὶ ἡ κώλυσις τῆς ἁμαρτίας.

λουκ. γ'. β'. Ἡ ἄνοιξις τοῦ παραδείσου, κατὰ τό, ἀμὴν λέγω σοι σήμερον ἔσῃ ἐν τῷ παραδείσῳ.

γ'. Ἡ ἐπιστροφὴ τῆς ψυχῆς, εἰς τὴν πρότερον αὐτῆς φυσικὴν κατάστασιν καὶ ἀνάπαυσιν.
δαδ. κατὰ τό, ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.

δ'. Ἡ ἀπόδοσις τῆς τιμῆς. ἣν διὰ τῆς ἁμαρτίας ἀπολύομεν, καθάπερ ἐπὶ τοῦ υἱοῦ τοῦ ἀ-
λουκ. ιϛ'. σώτου γέγονεν. φησὶ γὰρ ὁ εὐαγγελιστὴς λουκᾶς, ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν.

ε'. Ἡ εὐφροσύνη καὶ ἀγαλλίασις τῆς ψυχῆς. διὸ φησὶν ὁ προφήτης. ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ τὰ λοιπά.

λουκ. ιϛ'. ϛ'. Ἡ ζωή, τῆς νεκρωθείσης ψυχῆς ὑπὸ τῆς ἁμαρτίας. κατὰ τό, οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε.

ζ'. Ἡ ἀνάληψις τῆς χάριτος, ἣν ἀπόλεσεν ἡ ψυχή, διὰ τῆς ἁμαρτίας.

Ὤ πό

Περὶ τοῦ τίς ἡ ὕλη τῆς μετανοίας. κεφ. ζ.

Ἡ μὲν ὕλη τῆς μετανοίας ἡ πορρωτάτη κατὰ τὴν τῶν πολλῶν ἔννοιαν, ἐστὶ τὰ ἁμαρτήματα. ἡ δὲ πόρρω ἐστὶν ὁ μετανοῶν ἁμαρτωλός. ἡ δ' ἐγγὺς ἥ τ' ἐξομολόγησις. καὶ ἡ σύντριψις τῆς καρδίας, καὶ ἡ ἱκανοποίησις.

Περὶ τοῦ τί τὸ εἶδος τῆς μετανοίας. κεφ. η.

Τὸ εἶδος τῆς μετανοίας ἐστὶν, ἡ παρὰ τοῦ σωτῆρος ἡ-
μῶν δωρηθεῖσα ἐξουσία, τοῖς ἁγίοις αὐτοῦ μαθη-
ταῖς καὶ ἀποστόλοις μόνοις. ἣν καὶ ἐγχειρίσαν-
τες τοῖς ἀνὰ τὴν οἰκουμένην ἐπισκόποις, ἀλλη-
λοδιαδόχως ἐνεργεῖσθαι ἐθέσπισαν. φησὶ γὰρ ὁ ματ. ιη.
κύριος ὡς καὶ ἐν τοῖς ὄπισθεν εἴρηται ἡμῖν, ὅσα ἂν δή-
σητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ
ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ
οὐρανῷ. ὁμοίως καὶ ὁ ἐπιστήθιος ἰω. ἄν τινων ἀφῆ- ἰω. κ.
τε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς. ἄν τινων κρα-
τῆτε, κεκράτηνται. διὸ καὶ οἱ τῆς ἁγίας ἐξομο-
λογήσεως ἔννομοι λειτουργοί, τῷ πρὸς αὐτοὺς ἐρ-
χομένῳ ἁμαρτήσαντι λέγουσιν. ἡ χάρις τοῦ πα-
ναγίου πνεύματος, διὰ τῆς ἐμῆς ταπεινότητος
ἔχει σε συγκεχωρημένον καὶ λελυμένον.

Περὶ

, ἀλλ' ἵνα λύσω τὰ ἁμαρτήματα. Δεῦτε οὐκ ἐπει-
, δὴ δέομαι ὑμῶν τῆς δόξης, ἀλλ' ἐπειδὴ δέομαι ὑμῶν
, τῆς σωτηρίας. ἐγὼ γὰρ ἀναπαύσω ὑμᾶς. οὐκ εἰ-
, πεσώσω μόνον, ἀλλὰ καὶ ὁ πολὺ πλέον ἦν, ἐνά-
, δεια καταςήσω πάση.

λουκ. ια´. Ἔτι ὁ θεῖος λουκᾶς ἐν ταῖς πράξεσι φησὶν, ὅτι ὁ θεὸς ἔδωκε τὴν μετάνοιαν εἰς ζωήν.

κεφ. ϛ´. Περὶ τοῦ ὅτι ἐστὶν ἀναγκαία, τοῖς ἁμαρτάνουσιν ἡ μετάνοια.

Ὅτι μὲν ἐστὶν ἀναγκαία ἡ μετάνοια τοῖς ἁμαρτωλοῖς, ἐκ τῶν ῥηθησομένων δῆλον. φησὶ γὰρ ὁ χς̃ ἐν κεφ. ιγ´. τοῦ ἁγίου εὐαγγελιςοῦ λουκᾶ, παρῆσαν
, δέ τινες ἐν αὐτῷ περὶ τῶν γαλιλαίων, ὧν τὸ αἷμα
, πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκ
, ριθεὶς ὁ ἰς̃ εἶπεν αὐτοῖς. δοκεῖτε ὅτι οἱ γαλιλαῖοι
, οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς γαλιλαίους
, ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασι; οὐχὶ λέγω ὑ-
, μῖν. ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως
, ἀπολεῖσθε.

λουκ. ιγ´. Ὁμοίως εἴρηκε καὶ περὶ τῶν δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ σιλωάμ.

μαρ. ια´. Ἔτι καὶ ἡ τῆς συκῆς παραβολὴ πρὸς αὐτὴν
ματθ. κα´. πρὸς ἀνάγεται τὴν ἔννοιαν.

Περὶ

λέγει κς̅ παντοκράτωρ.

Ἔτι δὲ διὰ τοῦ ἱερεμίου. ἀποστραφήτω δὴ ἕκα- ἱερε. ιη.
στος ἀπὸ ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ καλλίονα ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν.

Ἔτι διὰ τοῦ δαδ. Ἐὰν μὴ ἐπιστραφῆτε τὴν δαδ. ζ.
ῥομφαίαν αὐτοῦ στιλβώσει.

Ἔτι ὁ ἱεζεκιὴλ ὁ προφήτης ἐν κεφ. λγ. φησί. ιεζεκιὴλ
ζῶ ἐγὼ λέγει ἀδωναΐ κς̅. οὐ βούλομαι τὸν θάνα- λγ.
τον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἀποστραφῆ ἀποστρέψατε, ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς, καὶ ἵνα τί ἀποθνήσκετε οἶκος ἰσραήλ.

Ἔτι φησὶν ὁ εὐαγγελιστὴς ματθαῖος ἐν κε- ματθ. γ.
φαλαίῳ γ. ὅτι ὁ ἰωάννης ὁ βαπτιστὴς, ἐκήρυττε λέγων μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ὁ αὐτὸς σωτὴρ, μετὰ τὸ πειράσαι αὐτὸν ὁ διάβολος. ἤρξατο ὁ ἰς̅ φησὶν ὁ εὐαγγελιστὴς, κηρύσσειν καὶ λέγειν. μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

Ἔτι ὁ αὐτὸς σωτὴρ, δεῦτε πρός με πάντες οἱ ματ. ια.
κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύ-
σω ὑμᾶς. Διὸ καὶ ὁ χρυσόστομος ἐν τῇ ἐξηγήσει χρυσόστ.
τοῦ αὐτοῦ ῥητοῦ φησί. Δεῦτε, οὐχ' ὁ δεῖνα, ἀλλὰ πάντες οἱ ἐνφορτίσιν, οἱ ἐν λύπαις, οἱ ἐν ἁμαρτίαις. Δεῦτε, οὐχ' ἵνα ἀπαιτήσω εὐθύνας,

ἀλλ'

ἀριθμῶν καὶ ἡ ἀδελφὴ μωϋσέως, ἡ κατ' αὐτοῦ τὴν γλῶτ-
ιβ΄. ταν κινήσασα, εἰ μὴ ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμ-
βολῆς ἀφορισμῷ καθυπεβάλλετο, οὐκ ἂν τῆς λέ-
κορινθ. α΄. πρας ἀπηλλάττετο. καὶ ὁ ἐν κορίνθῳ πόρνος,
κεφ. ε΄. εἰ μὴ τῷ σατανᾷ παρεδίδοτο, οὐκ ἂν τὸ πνεῦμα αὐτοῦ
ἐσώθη. διὸ καὶ αἱ ἅγιαι σύνοδοι, καὶ οἱ θεοφόροι
πατέρες κατὰ μέρος. ἀθανάσιός τε φημί, πέτρος
ἀλεξανδρείας, καὶ διονύσιος. γρηγόριος ὁ θαυμα-
τουργός, βασίλειός τε καὶ χρυσόστομος, γρηγόριός τε
καὶ κύριλλος, καὶ ἰωάννης ὁ νηστευτής, κατὰ τὴν
τῶν ἁμαρτημάτων ποσότητά τε καὶ ποιότητα,
τὴν ἱκανοποίησιν, τοῖς ἁμαρτωλοῖς ἀκριβῶς ὁρί-
ζοντες ἐπάγουσιν, οἷς ὁ μὴ πεισθεὶς ἀνάγκη τοῖς
ἐκεῖ δικαστηρίοις πεμφθήσεσθαι, καὶ λόγον δώ-
σειν ὧν ἔπραξεν ἀνοσιουργημάτων. ὡς τοὺς θεσ-
μοὺς τῆς ἁγίας ἐκκλησίας ἀθετήσας.

κεφ. ε΄. Περὶ τοῦ τίς ἐστιν ὁ τὴν μετάνοιαν διδάξας.

Ο τὴν μετάνοιαν διδάξας αὐτός ἐστιν ὁ οἰκτίρμων
καὶ ἐλεήμων θεός. αὐτὸς διὰ τοῦ προφήτου ἰωὴλ
ἰωὴλ. β΄. φησὶ ἐν κεφαλαίῳ β΄. ἐπιστράφητε πρός με ἐξ
ὅλης τῆς καρδίας ὑμῶν.

μαλαχ. Ἔτι διὰ τοῦ προφήτου μαλαχίου. ἐπιστρά-
φητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς

λέγει

Δεύτερον τὸ διδάσκειν.
Τρίτον τὸ λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας.
Τέταρτον, τὸ ποιμαίνειν τὸ ποίμνιον αὐτοῦ.
Καὶ τὸ μὲν βαπτίζειν, καὶ τὸ διδάσκειν, ὁ εὐαγ-
γελιστὴς μαρτυρεῖ ματθαῖος, ἐν κεφ. κηʹ. πορευ- ματ. κηʹ.
θέντες φησὶν μαθητεύσατε πάντα τὰ ἔθνη. βα-
πτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ υἱοῦ,
καὶ τοῦ ἁγίου πνς. Διδάσκοντες αὐτοὺς τηρεῖν
πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ πάλιν ὁ αὐ-
τὸς ἐν κεφ. ιηʹ. ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν λύσητε ματ. ιηʹ.
ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. καὶ ὁ ἰω. ἰω. κʹ.
ἐν κεφ. κʹ. ἐνεφύσησε καὶ εἶπεν αὐτοῖς, λάβετε
πνα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀ-
φίενται αὐτοῖς. ἄν τινων κρατῆτε κεκράτηνται.
Τὸ δὲ ποιμαίνειν, ὁ εὐαγγελιστὴς λουκᾶς ἐν ταῖς λου.
πράξεσιν, ἐμφανῶς τοῦτο μαρτυρεῖ, ὡς εἴρηται. πράξ. κβʹ.

Τὸ δὲ τρίτον μέρος τῆς μετανοίας ἐστὶν ἡ ἱκανο- τρίτον
ποίησις. ἥτις ἐστὶν ἔμπρακτος πλήρωσις καὶ τελείω- μέρος τῆς
σις τοῦ κανόνος. ὃν ὁ ἔχων τὴν ἐξουσίαν πνευμα- μετανοί-
τικὴς, ἔδωκε τῷ ἁμαρτήσαντι, ὑπὲρ τῶν αὐτοῦ ας.
ἁμαρτιῶν, κατὰ τὴν τῆς ἁγίας ἐκκλησίας πα-
ράδοσιν, καὶ τὴν τῶν ἱερῶν κανόνων πνευματικὴν
ποινήν. ταύτην οὐ μόνον οἱ τῆς καθολικῆς ἐκ-
κλησίας θεοκήρυκες, καὶ πνευματοκήρυκες ἐδί-
δαξαν, ἀλλὰ καὶ ἡ θεία γραφὴ ἐναργῶς κηρύττει.

λος κῦ παντοκράτορός ἐστιν.

Καλοῦνται θεοὶ, ὅτι φησὶν ὁ μακάριος μωϋ-
σῆς ἐν κεφ. κβ΄. τῆς ἐξόδου θεοὺς οὐκ ἀκολογήσεις,
καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. θεοὺς
τοὺς ἱερεῖς ἐννοεῖ, κατὰ τὴν τῶν ἁγίων ἐξήγησιν.
εἰσὶν ἐπίσκοποι, ὅτι τηρητὰς καὶ φύλακας ἐγ-
κατέστησεν αὐτοὺς, ὁ κς̄ τῷ λογικῷ αὐτοῦ ποι-
ἰεζεκιὴλ μνίῳ. Διὸ φησὶ διὰ τοῦ προφήτου ἰεζεκιὴλ. υἱὲ ἀνθρώπου
θ΄. σκοπὸν δὲ δέδωκά σε τῷ οἴκῳ ἰηλ, καὶ τῷ οἴκῳ ἰού-
δα. Ἐὰν μὴ σημάνῃς τὴν σάλπιγγα, καὶ ὁ λαὸς
μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ
αὐτῶν ψυχὴν, τὸ αἷμα αὐτῆς ἐκ τῶν χειρῶν σου ζη-
τήσω.

Ἔτι ὁ μακάριος λουκᾶς φησὶν ἐν κεφ. κβ΄.
τῶν πράξεων, ἔνθα ἡ μεγάλη σάλπιγξ τῆς οἰκου-
ποιμαί- μένης ἐδημηγόρει, παῦλος ὁ θεσπέσιος. πρόσεχετε
νειν. οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ
„ πνα τὸ ἅγιον ἔθετο ἐπισκόπους. ποιμαίνειν
„ τὴν ἐκκλησίαν τοῦ θῦ, ἣν περιεποιήσατο, διὰ τοῦ
„ ἰδίου αἵματος.

Ἐκ τῶν ῥητῶν γοῦν τῆς νέας διαθήκης, τέσ-
σαρα τίμια δεδωρῆσθαι, ἀμέσως τοῖς ἱεροῖς ἀπο-
στόλοις παρὰ τοῦ κῦ δοκεῖ, καὶ δι᾽ αὐτῶν ἀλληλο-
διαδόχως τοῖς ἀνὰ τὴν οἰκουμένην ἐπισκόποις.
Πρῶτον τὸ βαπτίζειν,

Δεύτε-

λύθασιν εἰς τὸν κόσμον. ϗ πολλοὶ πλανῶντες καὶ πλανώμενοι κατὰ τὸν μακάριον παῦλον. ὅθεν ἐστὶν ἀναγκαῖον ὁρᾶν, τοὺς καλουμένους πνικούς. εἰ γ' ἐξουσίαν ἔχωσιν, καὶ ἐν τᾷ λ' τῆς ἀποστόλων δεύτερα γράμματα, κατὰ τὴν συνήθειαν τῆς ἁγίας ἐκκλησίας. καὶ τὸν ἐκ τοῦ κανόνα τῆς ἐν καρθαγένῃ συνόδου, καὶ τὸν ἕβδομον αὐτῆς, ἐν οἷς φασὶν οἱ ἐκεῖ τότε ἅγιοι πρες, μὴ ἐξεῖναι πρεσβυτέρω, καταλλάξαι τινὰ ἤγουν συγχωρῆσαι, ἄνευ ἀδείας ἐπισκόπου.

Ἰστέον δὲ. ὅτι οἱ τὴν ἀρχιερατικὴν καὶ ἱερατικὴν ἐνδεδυμένοι νομίμως ἐξουσίαν καλοῦνται οὕτως.

Ἄρχοντες.

Ἄγγελοι.

Θεοὶ

Ἐπίσκοποι.

Λέγονται ἄρχοντες· κατὰ τὸν προφήτην δαδ. δαδ.

καταστήσεις γὰρ φησιν αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Καὶ ὁ μακάριος παῦλος. ὡς μηδὲν ἔχοντες καὶ τὰ πάντα κατέχοντες. Καλοῦνται ἄγγελοι· ὅτι φησὶν ὁ προφήτης μαλαχίας ἐν κεφαλαίω δ' αὐτοῦ. χείλη ἱερέων φυλάξεται γνῶσιν, ϗ νόμον ἐκ ζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγε- κορινθ. β'. κεφ. ϛ'.

κρυφίων, ἐπὶ τοῦ ἔχοντος νόμιμον καὶ κανονικὴν
ἐξουσίαν.

ψαλ. λα'. Εἶπον ἐξαγορεύσιν, ὅτι φησὶν ὁ προφήτης ἐ-
γὼ εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου
τῷ κῷ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρ-
δίας μου.

Εἶπον ἑκούσιον, ὅτι πᾶν τὸ βίαιον οὐκ ἔστιν
ἀρετή.

σολομών. Εἶπον ἄνευ αἰδοῦς, ὅτι ἔστιν αἰσχύνη ἐπάγου-
σα ἁμαρτίαν. καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις
σειράχ κατὰ τὸν σολομῶντα. καὶ ὁ σειράχ. οὐκ ἔστι πᾶ-
λβ'. σα αἰσχύνη φυλάξασθαι καλόν.

Εἶπον διὰ τῶν χειλέων. Διότι φησὶν ὁ προ-
ἠσαΐ. μγ'. φήτης ἠσαΐας ἐν κεφ. μγ'. Λέγε σὺ πρῶτον τὰς
ἁμαρτίας σου ἵνα δικαιωθῇς ὅτι ἐγώ εἰμι ὁ ἐξαλεί-
φων τὰς ἁμαρτίας σου. καὶ ὁ κύριος ἐν εὐαγγε-
λίοις. ἐκ γὰρ τοῦ λόγου σου δικαιωθήσῃ, καὶ ἐκ τοῦ
λόγου σου καταδικασθήσῃ.

Εἶπον κατήγορον, ὅτι φησὶν ὁ θεῖος χρυσόστο-
μος ἐν τῇ να'. τοῦ κατὰ ματθαίου ὁμιλίᾳ, εἰ θέλεις
κατηγορῆσαι, κατηγόρησόν σου.

ψαλ. ιη'. Εἶπον τῶν τῆς καρδίας κρυφίων, ὅτι φησὶν
ὁ προφήτης, ἐκ τῶν κρυφίων μου καθάρισόν με.

Εἶπον ἐπὶ τοῦ ἔχοντος νόμιμον καὶ κανονι-
κὴν ἐξουσίαν. ὅτι πολλοὶ ψευδοπροφῆται εἰσελη-

λύθα-

Καὶ ἔξω.

Καὶ ἡ μὲν ἔνδον, διὰ συντριβῆς καρδίας γίνεται.
ὡς ὁ δαβὶδ φησί· καρδίαν συντετριμμένην ὁ θεὸς οὐκ δαδ.
ἐξουδενώσει, καὶ τοῦ ἐκ βάθους ἀναστεναγμοῦ,
ὡς τὸ ἐκ βαθέων ἐκέκραξά σοι, κύριε εἰσάκουσον
τῆς φωνῆς μου. ὅτι οἱ ἀναστεναγμοὶ τῶν πενήτων,
οὐκ ἀπολοῦνται εἰς τέλος. Ἡ δὲ ἔξω, διὰ δακρύων,
διὰ γονυκλισίας, διὰ τῆς τοῦ στήθους κρούσεως, ὡς
ὁ πάλαι τελώνης, γίνεται.

Περὶ τῶν μερῶν τῆς μετανοίας. κεφ. δ'.

Τὰ μέρη τῆς μετανοίας εἰσὶ τρία. ἤγουν ἡ συντρι-
βὴ τῆς καρδίας.

Ἡ τοῦ στόματος ἐξομολόγησις,

Καὶ ἡ ἱκανοποίησις.

Καὶ ἡ μὲν σύντριψις τῆς καρδίας ἐστὶ, θλίψις σύντρι-
ἐγκάρδιος μεταμελείας, ἕνεκα τῶν προτέρων ψις.
ἁμαρτιῶν, καὶ τῆς τοῦ νόμου τοῦ θεοῦ παραβά-
σεως. αὕτη προσφιλὴς ἐστὶ παρὰ τῷ θεῷ, καὶ οὐκ
ἐξουδενεῖται παρ' αὐτοῦ κατὰ τὸ εἰρημένον.

Ἡ δὲ ἐξομολόγησις ἐστὶν, ἐξαγόρευσις ἑκούσιος ἐξομολό-
ἄνευ αἰδοῦς, διὰ τῶν χειλέων γινομένη. τῶν προ-
τέρων ἐνεργηθεισῶν αἰσχρουργιῶν ἕνεκα, καὶ
κατήγορος ἑκούσιος σαφεστάτη, τῶν τῆς καρδίας

θʹ. Οἱ πόσοι καὶ ὁ ποῖοι οἱ καρποὶ αὐτῆς.

ιʹ. Πόσοι τόποι ἀφωρισμένοι ἐν τῇ ἐκκλησίᾳ εἰσί, τῶν μετανοούντων.

δαμασκ. βι. βʹ. κεφ. μβʹ.

Περὶ τοῦ τί ἐστι μετάνοια.

Μετάνοια ἐστὶ κατὰ τὸν θεῖον δαμασκηνόν, ἐκ τοῦ παρὰ φύσιν, εἰς τὸ κατὰ φύσιν. καὶ ἐκ τοῦ διαβόλου, πρὸς θεὸν ἐπάνοδος, δι᾽ ἀσκήσεως καὶ πόνων.

καὶ ἄλλως.

Μετάνοιά ἐστιν ἐπιστροφὴ ἑκούσιος, ἀπὸ τῶν πταισμάτων, ἐπὶ τὸ ἐναντίον ἀγαθόν.

Περὶ τῶν σημαινομένων τῆς μετανοίας.

ματθ. γʹ. Μετάνοια.
Μεταμέλεια.
ματ. κγʹ. Μετάγνωσις.

Περὶ τοῦ ποσαχῶς ἡ μετάνοια.

Ἡ μετάνοια ἐστὶ διχῆ. Ἔστι μετάνοια. Ἔνδον,

Καὶ

τῶν ὑπὸ τὴν αὐτῶν ἐπαρχίαν ἐπισκόπων. οἷς τὸ κῦρος, καὶ τὴν χειροτονίαν παρέχουσιν, κατὰ τὸν κϐ. κανόνα τῆς ἐν χαλκιδόνι συνόδου. λέγονται οἱ δ' ἐπίσκοποι λέγονται ἀρχιερεῖς, καὶ ἀρχαὶ τῶν ἱερέων.. οὓς, καὶ χειροτονοῦσιν ἀκωλύτως. εἰσὶ δὲ καί τινες ἐπισκοπαί. αἵτινες ἐτιμήθησαν παρὰ τῶν πάλαι βασιλέων, τοῦ καλεῖσθαι ἀρχιεπισκοπαί, εἰ καὶ ὑπ' αὐτὰς ἐπισκοπὰς ἄλλας οὐκ ἔχουσι, τοῦ ἀρχιεπισκοπάζεσθαι :~

Περὶ δὲ τοῦ μυστηρίου τῆς μετανοίας ζητεῖται ταῦτα.

α'. Τί ἐστι μετάνοια.
β'. Τὰ αὐτῆς σημαινόμενα.
γ'. Πόσαχῶς ἡ μετάνοια.
δ'. Πόσα τὰ αὐτῆς μέρη.
ε'. Τίς ὁ ταύτην διδάξας.
ϛ'. Ὅτι ἐστὶν ἀναγκαία τῷ ἁμαρτήσαντι χρειώδης.
ζ'. Τίς ἡ αὐτῆς ὕλη
η'. Τί τὸ εἶδος.

Ὁ πό

λοιποὶ τῶν ἁγίων ἀγγέλων.

καὶ ἄλλως.

Τὸ τοῦ ἐπισκόπου ὄνομα, γενικὸν ὄνομά ἐστι. κατηγορεῖται γὰρ κατὰ πατριάρχου, κατὰ μητροπολίτου, καὶ κατὰ ἐπισκόπου. ὡς ἔξεστι μαθεῖν, ἐν τοῖς πρακτικοῖς τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων. πρώτης τε φημί, καὶ δευτέρας, καὶ τῶν λοιπῶν.

Ἰστέον δὲ ὅτι ὁ πατριάρχης λέγεται πατριάρχης, ὡς ἀρχὴ τῶν ὑπ' αὐτὸν πατέρων. ἤγουν μητροπολιτῶν, ἐπισκόπων, ἡγουμένων, καὶ τῶν λοιπῶν.

Οἱ δὲ μητροπολῖται, λέγονται ἀρχιεπίσκοποι, λέγονται μητροπολῖται, ὡς μητέρες τῶν πόλεων. ἃς τρέφειν ὀφείλουσι, καὶ πνευματικῶς, καὶ πολιτικῶς. πνευματικῶς μέν, διὰ τῶν διδαχῶν, καὶ τῆς ζωῆς, καὶ τῶν ἁγίων ἠθῶν αὐτῶν. πολιτικῶς, διὰ τῶν εἰσοδημάτων. καὶ φόρων τῆς ἐπαρχίας. κατὰ τὸν λη'. καὶ μα'. τῶν ἁγίων ἀποστόλων κανόνα, λέγουσι γὰρ ἐκεῖ οἱ ἅγιοι. πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων, ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς θεοῦ ἐφορῶντος.

Λέγονται καὶ ἀρχιεπίσκοποι, ὅτι εἰσὶν ἀρχὴ

τελοῦνται. τοῖς δὲ ἱερεῦσιν ἐδόθη ἐξουσία, ὑπὸ τῶν αὐτοὺς χειροτονησάντων. τοῦ ἱερουργεῖν τὰ ἄχραντα μυστήρια. καὶ τὸ μεταδίδοναι αὐτὰ τοῖς πιστοῖς. καθὼς ἡ τάξις καὶ ἡ ἀκολουθία ἀπαιτεῖ. τῆς ἁγίας ἐκκλησίας.

Τοῖς δὲ διακόνοις, ἡ τοῦ ἱεροῦ εὐαγγελίου ἐπεδόθη ἀνάγνωσις ἐπὶ ἄμβωνος.

Τοῖς δὲ ὑποδιακόνοις, ἡ τῶν ἁγίων σκευῶν, καὶ τῆς ἱερᾶς στολῆς, προπαρασκευή τε καὶ προευτρέπησις. καὶ ἡ τήρησις τούτων καὶ ἡ ἐπιμέλεια.

Τοῖς δὲ ἀναγνώσταις, ἡ τοῦ ἀποστόλου ἀνάγνωσις ἐπεδόθη.

Τοῖς δὲ ἐξορκισταῖς, ἡ τοῦ ἐξορκίζειν ἐξουσία ἐδωρήθη, κατὰ τῶν πονηρῶν πνευμάτων.

Τοῖς δὲ πυλωροῖς, ἡ τῶν ἱερῶν τοῦ ναοῦ πυλῶν εἴσοδος ἐνεχειρίσθη. οἳ, τοὺς μὲν ἀφωρισμένους, καὶ αἱρετικοὺς τῶν ἁγίων πυλῶν ἐξωθοῦσι, τοὺς δὲ ὀρθοδόξους καὶ εὐλογημένους, εἰσδέχονται. καθάπερ οἱ περὶ τὸν χρυσόστομον, καὶ ἀμβρόσιον ἐποίησαν. ὧν ὁ μὲν, τὸν αὐτοκράτορα θεοδόσιον. ὁ δὲ, τὴν αὐγοῦσταν εὐδοξίαν, τῆς ἐκκλησίας ἐξώρισαν. καὶ εἰσελθεῖν εἰς τὸν ναὸν ὅλως οὐ κατείασαν.

ἰγνάτ. ἐν πρὸς φαλ λοι λησίους.

Πλὴν ἰστέον, ὅτι ὁ μὲν, ἐπίσκοπος τόπον ἐπιέχει τοῦ τῶν ὅλων θεοῦ. ὁ δὲ, ἱερεὺς τοῦ χριστοῦ. οἱ δὲ

Περὶ τοῦ ὁποῖον ἐστὶ τὸ ἔργον καὶ ἡ πρᾶξις ἑνὸς ἑκάστου τάγματος.

Τοῦ μὲν ἐπισκόπου τὸ ἔργον ἐστὶ τὸ διδάσκειν, τὸ βαπτίζειν, τὸ λύειν καὶ δεσμεῖν τὰς τῶν ἀνθρώπων ἁμαρτίας. καὶ τὸ χειροτονεῖν τοὺς λοιποὺς τῆς ἐκκλησίας ἅπαντας βαθμούς.

Ταῦτα γὰρ ἀμμέσως ὁ χς τοῖς ἁγίοις ἀποστόλοις παρέσχεν, δι' ὧν οἱ ἀνὰ πᾶσαν χειροτονηθέντες ἐπίσκοποι, τὰς χάριτας καὶ τὴν ἐξουσίαν ταύτην ἔλαβον. ὡς ὁ ἅγιος κλήμης τῆς ῥώμης ἐπίσκοπος, παρὰ τοῦ κορυφαίου τῶν ἀποστόλων πέτρου. καὶ ὁ ἅγιος τίτος τῆς κρήτης ἐπίσκοπος, παρὰ τοῦ ἁγίου παύλου. καὶ οἱ ἕτεροι τῶν ἁγίων ἀποστόλων, ἄλλους ἐν ἄλλαις ἐχειροτόνησαν ἐπισκόπους.

ματθ. κη΄. Ὅτι μὲν ὁ χς ταῦτα τοῖς ἀποστόλοις ἐνεχεί-
„ ρησεν, ἄκουσον τοῦ ἱεροῦ ματθαίου λέγοντος. πο-
„ ρευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. βα-
„ πτίζοντες αὐτούς, εἰς τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ υἱοῦ,
„ καὶ τοῦ ἁγίου πνς. διδάσκοντες αὐτοὺς τηρεῖν,
„ πάντα ὅσα ἐνετειλάμην ὑμῖν.

ἰω̄ κ΄. Καὶ ὁ ἅγιος ἰω. ἐνεφύσησε καὶ εἶπεν αὐτοῖς.
„ λάβετε πνα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρ-
„ τίας, ἀφίενται αὐτοῖς. ἄν τινων κρατῆτε κεκρά-

την

γνώστας, ψάλτας, πυλωρούς, ἐπορκιστάς, καὶ τοὺς λοιπούς.

Ἔτι ὁ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου φησί. μὴ ἐξεῖναι τῷ χωρεπισκόπῳ χειροτονεῖν, διάκονον ἢ πρεσβύτερον, ἀλλὰ μόνον ἀναγνώστας καθιστᾶν, ὑποδιακόνους, καὶ ἐπορκιστάς.

Ἔτι μνημονεύει καὶ ἐνίους τῆς εἰρημένης τάξεως, ἡ τρίτη διάταξις τῶν νεαρῶν, τοῦ αὐτοκράτορος ἰουστινιανοῦ, ἡνίκα τὴν τοῦ κλήρου ποσότητα τῆς μεγάλης ἐκκλησίας ἐπιτάττει, ὁποῖα καὶ πόση εἶναι ὀφείλει. διὸ φησί. θεσπίζομεν μὴ περαιτέρω μὲν ἑξήκοντα πρεσβυτέρων κατὰ τὴν ἁγιωτάτην ἐκκλησίαν εἶναι. διακόνους ἄρρενας ἑκατόν. ὑποδιακόνους ἐνενήκοντα. ἀναγνώστας δὲ ἑκατὸν δέκα. καὶ ψάλτας εἰκοσιπέντε. καὶ ἑκατὸν πρὸς τούτοις τῶν καλουμένων πυλωρῶν.

Ἔτι καὶ ὁ δ΄. κανὼν τῆς ἐν Τρούλλῳ συνόδου οἰκουμενικῆς. ἤτις φησίν. ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκων, ἢ ὑποδιάκων, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς, γυναῖκα ἀφιερωμένην θεῷ καὶ τὰ λοιπά.

Περὶ τῆς ὕλης τοῦ ἱερατικοῦ τάγματος.

Καὶ ἡ μὲν ὕλη τοῦ ἱερατικοῦ τάγματος ἐστὶν ὁ ἅγιος ἄρτος, καὶ ἡ τῶν ἱερῶν σκευῶν ποσότης, καὶ τὰ λοιπὰ ἑκάστου τάγματος ὡς ἔθος. τὸ δὲ ὑποκείμενον, οἱ τοῦτο λαμβάνοντες κανονικῶς.

γουμένη, ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ βοηθείας, παρὰ τοῦ σωτῆρος ἡμῶν παραδεδομένη.

Περὶ τοῦ πόθεν ἱερωσύνη.

Ἱερωσύνη λέγεται, παρὰ τὸ ἵημι τὸ πέμπω. οἱ γὰρ ἱερεῖς τὰς θυσίας ἀναπέμπουσι τῷ θεῷ. ἢ παρὰ τὸ ἱερεύω τὸ θύω.

Περὶ τῆς ποσότητος τῆς αὐτῆς τάξεως.

Ἑπτά εἰσιν αἱ τάξεις τῆς ἱερωσύνης.

α΄. Ἡ πρώτη τῶν πυλωρῶν. καὶ ἀκολούθων.
β΄. Ἡ τῶν ἐξορκιστῶν
γ΄. Ἡ τοῦ ἀναγνώστου.
δ΄. Ἡ τῶν ὑποδιακόνων
ε΄. Ἡ τῶν ἱεροδιακόνων.
ϛ΄. Ἡ τῶν ἱερέων
ζ΄. Ἡ τῶν ἀρχιερέων καὶ ἐπισκόπων

Τοῦτον τὸν ἀριθμὸν ὡς ἀρχαῖον ὄντα ἐν τῇ ἐκκλησίᾳ. ὁ ἅγιος μάρτυς ἰγνάτιος ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς, κἀν τῇ πρὸς ἀντίοχον ταῦτα φησί. ἀσπάζομαι ἱερεῖς διακόνους, ὑποδιακόνους, ἀνα-

γνώ-

μῶν. τοῦτο φασὶν οἱ μακάριοι πατέρες, παρὰ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων παρειλήφασιν, ὡς ὁ διονύσιος φησὶν ὁ ἀρεοπαγίτης, καὶ ὁ βασίλειος καὶ ὁ χρυσόστομος ἐν ταῖς αὐτῶν ἁγίαις λειτουργίαις φασί.

ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ.

Τρίτον, ὑπὸ τῶν ζώντων ὀρθοδόξων χριστιανῶν, ἀρχιερέων τε φημὶ καὶ βασιλέων, καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ.

Περὶ τῆς τάξεως τῆς ἱερωσύνης.

α'. Τί ἐστιν ἱερωσύνη.
β'. Πόθεν ἱερωσύνη
γ'. Ἡ ποσότης τῆς τάξεως καὶ ποιότης αὐτῆς.
δ'. Τίς ἡ ὕλη αὐτῆς.
ε'. Τί τὸ εἶδος.
ϛ'. Καὶ τί τὸ ἔργον καὶ τὸ ἴδιον ἑκάστου τάγματος.

Περὶ τοῦ τί ἐστιν ἱερωσύνη.

Ἱερωσύνη ἐστὶ τάξις θεία, μυστηρίου αἰσθητοῦ, δύναμιν ἔχουσα πνικὴν, ὑπὸ ἀρρένων ἁγίων ἐνερ-

γου-

τρία τινὰ θεωρεῖται, τό τε ξύλον φημί, τὸ πῦρ, καὶ
τὸ θερμόν. οὕτω καὶ ἐν τῷ μετουσιωμένῳ ἄρτῳ, τρία
τινὰ θεωρεῖται. ὁ ἄρτος φημί, ἤγουν ἡ σὰρξ τοῦ χριστοῦ.
ἡ μακαρία καὶ ὑπεραγία αὐτοῦ ψυχή, καὶ ἡ θεότης
καὶ αὖθις. καθάπερ ὁ ἄνθραξ, καίει, καθαίρει, λαμ-
πρύνει. οὕτω καὶ ὁ ἡγιασμένος ἄρτος, ὁ εἰς σάρκα τοῦ σω-
τῆρος ἡμῶν μεταβληθείς, καίει τοὺς ἀναξίως αὐτοῦ
μεταλαμβάνοντας. εἰς κρῖμα γὰρ ἐκείνοις γίνε-
ται, κατὰ τὸν μακάριον παῦλον. καθαίρει καὶ
καὶ ἀποσμήχει τὰς ἁμαρτίας τῶν πιστῶς αὐτοῦ
ἰω. ἐπιστ. μετασχόντων. τὸ γὰρ αἷμα τοῦ ἰησοῦ φησὶν ὁ ἰωάν-
κεφ. α. νης, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

Λαμπρύνει καὶ καταυγάζει τὸν νοῦν, τῶν
εἰς τὸν οἶκον τῆς ψυχῆς τοῦτον εἰσοικιζόντων. αὐ-
τὸ γάρ ἐστι τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον ἐρ-
χόμενον εἰς τὸν κόσμον :~

Περὶ τοῦ τίνος χάριν ἡ λειτουργία ἐπιτελεῖται.

Πρῶτον μὲν εἰς δόξαν καὶ αἶνον τοῦ μεγάλου θεοῦ καὶ
σωτῆρος ἡμῶν, καὶ εἰς μνήμην τοῦ θανάτου, καὶ τῆς
ἀναστάσεως αὐτοῦ, κατὰ τὸ γεγραμμένον. τοῦτο
ματθ. ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Δεύτερον, ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν
τῶν εὐσεβῶς κεκοιμημένων ὀρθοδόξων χριστια-

νῶν

Τρίτον, ὁ ἄνθραξ ὃν εἶδεν ὁ ἡσαΐας. ἐξόδ.ιϛ'.

Καὶ τὸ μὲν μάννα ἦν κυκλοειδές.

Λευκόν,

Καὶ ἡδύ.

Καὶ ὁ μὲν κύκλος, τὴν θεότητα τὴν ἐν τῷ μετουσιωμένῳ ἄρτῳ καὶ οἴνῳ προετύπου, τὴν μήτε ἀρχὴν μήτε τέλος ἔχουσαν.

Τὸ δὲ, λευκόν, τὸ καθαρὸν καὶ ἄμωμον τῆς μακαρίας τοῦ ἰησοῦ ψυχῆς. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ἡσαΐ.νγ'.

Τὸ δὲ ἡδύ, τὴν ἁγίαν αὐτοῦ καὶ γλυκυτάτην σάρκα, τὴν ὑπὲρ μέλι καὶ κηρίον, τοὺς ταύτην πιστῶς ἐσθίοντας καθηδύνουσαν.

Ταύτην τὴν ἁγίαν τράπεζαν προδιετύπου ὁ ἄνθραξ, ὃν εἶδεν ἡσαΐας. ἡσαΐ.ϛ'. ἀπεστάλη πρός με φησὶν ἓν τῶν σεραφίμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν. ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. Τοίνυν ὥσπερ καθὼς ὁ ἄνθραξ σύγκειται ἐκ δύο οὐσιῶν ἔστι δὲ εἷς τῷ ἀριθμῷ. οὕτω καὶ ὁ ἄρτος ὁ μεταποιηθείς. ἔστιν εἷς ἐκ δύο οὐσιῶν συγκείμενος. τῆς τε θεότητος φημί, καὶ τῆς τοῦ σίτου τοῦ μετουσιωμένου εἰς σάρκα χριστοῦ

Καὶ αὖθις καθάπερ ἐν ἐκείνῳ τῷ ἄνθρακι

τρία

κυρίου ἀνάστασιν, αἱ γὰρ μυροφόροι ὄρθρου βαθέως ἦλθον φησὶν ὁ ἱερὸς λουκᾶς, ἐπὶ τὸ μνημεῖον καὶ εὗρον τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου ἰησοῦ. Η δὲ τῆς ἁγίας τεσσαρακοστῆς μετὰ τὴν μεσημβρίαν ἱερουργία, τὴν τοῦ σωτῆρος ἡμῶν δηλοῖ θυσίαν. ἐν ἐκείνῃ γὰρ τῇ ὥρᾳ ἀπῃώρητο ἐν τῷ σταυρῷ. καὶ μετ᾽ ἐκείνην, κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. καὶ λειτουργὸς αὐτὸς ἑαυτοῦ γέγονεν, ὑπὲρ τῆς ὅλης φύσεως ἡμῶν θύσας ἑαυτόν.

Η δὲ γενομένη τῇ τρίτῃ ὥρᾳ ὁσημέραι θεία
λουκᾶ. μυσταγωγία, τὴν τοῦ ἁγίου πνεύματος κάθοδον προσβεβαιοῖ, ἐν ᾗ κατελθὼν τοὺς θείους ἀποστόλους δύναμιν ἐνέδυσεν, καὶ τὴν θείαν μυσταγωγίαν ποιεῖν ἀκωλύτως παρεθάρρυνε. ὅθεν καὶ οἱ ἱερουργοὶ τό, Κύριε ὁ τὸ πανάγιόν σου πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις σου καταπέμψας, καὶ τὰ λοιπὰ ἐπᾴδουσιν :~

Πόσα καὶ ποῖα ὑπῆρχον τὰ προτυποῦντα, τὴν θείαν ταύτην καὶ ἱερὰν μυσταγωγίαν.

Πρῶτον μὲν ἦν τὸ μάννα.

Δεύτερον ὁ ἀμνὸς ὁ ἐν τῷ νομικῷ πάσχα ἐσθιόμενος.

Ὧ τρέφεται.
Καὶ τὸ τρέφον.
Τὸ τρέφον ἐστὶν ἡ θρεπτικὴ ψυχή.
Τὸ τρεφόμενον, τὸ ἔμψυχον σῶμα.
Ὧ δὲ τρέφεται, ἡ τροφή.
Οὕτω καὶ ἐν τῇ δευτέρᾳ γεννήσει τῇ πνευματικῇ. ἐστὶ τὸ τρεφόμενον, ἤγουν ὁ βαπτισθεὶς ἀναγεννηθεὶς ἄνθρωπος. ὧ τρέφεται, τὰ ἄχραντα μυστήρια. τὸ τρέφον, ἡ θεία χάρις ἡ ταῦτα μεταποιοῦσα, εἰς σάρκα καὶ αἷμα τοῦ σωτῆρος ἡμῶν.

Περὶ τοῦ ἐν ποίᾳ ὥρᾳ τὴν θείαν εἴωθεν ποιεῖν λειτουργίαν, ἡ ἀνατολικὴ ἐκκλησία. κεφ. θ.

Τὴν ὥραν τῆς θείας λειτουργίας, ἐν τρισὶ μέρεσι τῆς ἡμέρας παρελάβομεν ἐπιτελεῖν. καὶ ἐν μὲν τῇ ἁγίᾳ ἑορτῇ τοῦ πάσχα, πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι, τῆς θείας ἀρχόμεθα λειτουργίας.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ, μετὰ τὴν μεσημβρίαν, ταύτην ἐπιτελοῦμεν. ὁμοίως καὶ ταῖς παραμοναῖς.

Ἐν δὲ ταῖς ἄλλαις ἡμέραις, τὴν τρίτην ὥραν, τὴν ἁγίαν λειτουργίαν προσφέρομεν τῷ θεῷ.

Καὶ ἡ μὲν, τῆς ἁγίας λαμπρᾶς τοῦ πάσχα πρὸ τοῦ ἡλίου λειτουργία, τὴν τοῦ τάφου παραδηλοῖ τοῦ

καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. συνεπόμενα ἔχον, καὶ τὰ ὑπὸ τοῦ ἱερέως ἐφεξῆς λεγόμενα ῥήματα, καθάπερ ἐν τῇ θεία φέρεται λειτουργία. ἀλλ' εἰσὶ τινὲς, οἵτινες ὑπὸ χαιρεκάκων ἀνδρῶν φενακισθέντες, φασὶν ὅτι οἱ γραικοὶ ἐν τῷ ἁγίῳ ποτηρίῳ, οὐ τὴν ἐκ τοῦ ὕδατος ποιοῦσι κρᾶσιν, καθὼς ἡ ἁγία ἐστὶ τῆς ἐκκλησίας παράδοσις. ὧν ἡ πεῖρα. καὶ γὰρ προσελθέτωσαν καὶ σκοπείτωσαν τὰ τῆς λειτουργίας, ἐλέγχειν αὐτῶν ἄντικρυς. δύναται τὴν κακόνοιαν.

κεφ. ζ. καὶ η. Περὶ τοῦ ποιητικοῦ καὶ τελικοῦ αἰτίου τῆς θείας λειτουργείας.

Τὸ μὲν ποιητικὸν αἴτιον τὸ πόῤῥω ἐστὶν ὁ θεός, τὸ δὲ προσεχὲς ὁ ἱερεύς. τὸ δὲ τελικὸν, τὸ ποιῆσαι καὶ μεταβάλλειν τὴν τοῦ ἄρτου οὐσίαν καὶ τοῦ οἴνου, εἰς σάρκα καὶ αἷμα χριστοῦ. δι' ὧν ἁγιάζονται, ζωοποιοῦνται, οἱ τούτων πιστῶς μεταλαμβάνοντες. εἰς ἄφεσιν γὰρ ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τοῦ σωτῆρος ἡμῶν χριστοῦ, γίνεται ἡ μετάληψις τῶν θείων μυστηρίων. Ἰστέον δὲ ὅτι τρία τινὰ θεωροῦνται ἐν τῷ γεγεννημένῳ βρέφει, φασὶν οἱ ἔξω σοφοί. Τὸ τρεφόμενον.

ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος:—

Περὶ τοῦ τί ἐστι λειτουργία.

Λειτουργία ἐστὶ μυστήριον λήψεως τοῦ μετουσιωθέντος ἄρτου καὶ τοῦ οἴνου, εἰς τὴν τοῦ σωτῆρος ἡμῶν σάρκα καὶ τὸ αἷμα. ἅπερ ἐναργῶς παριστῶσι τὴν ταφὴν καὶ τὴν τοῦ κυρίου ἀνάστασιν.

Περὶ τῆς ὕλης καὶ τοῦ εἴδους τῆς θείας λειτουργίας.

Ἡ μὲν ὕλη τῆς θείας λειτουργίας ἐστὶν, ὁ ἄρτος καὶ ὁ οἶνος σὺν τῷ ὕδατι. οὐ γὰρ ἐξ ἄλλης ὁποίας σοι οὖν ὕλης, ἢ καρποῦ τοῦ τυχόντος, ἢ σικέρων, ἀλλ' ἐκ τοῦ κυρίως σίτου καὶ οἴνου τοῦ ἀληθινοῦ, τὴν θείαν μυσταγωγίαν ἐκτελεῖν ἡμῖν ὁ κς, καὶ οἱ αὐτοῦ θεῖοι ἀπόστολοι παρέδωκαν. καὶ πρόσεχε ἵνα μὴ λάθης σαυτὸν καὶ ἀντὶ οἴνου καθαροῦ, προσφέρεις ὄξος, ἢ ἐκ φοινίκων οἶνον καὶ ἄλλως διεφθαρμένον. ἁμάρτημα γὰρ προσάξεις ἑαυτῷ τῶν θανασίμων.

Τὸ δὲ εἶδος, προηγουμένως μὲν τὰ κυριακὰ λόγια. τὸ, λάβετε φάγετε δηλαδὴ τοῦτό ἐστι τὸ σῶμά μου. καὶ τὸ, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου. τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ

σίους ποιεῖ, καὶ τῆς αὐτοῦ βασιλείας κληρονόμους.

Ἔτι λέγεται δῶρον, ὅτι τοῖς πᾶσιν ἀμισθὶ τοῖς πιστῶς προσιεμένοις, ὑπὸ τῶν ἱερέων δωρεῖται· ὅθεν καὶ ὁ προφήτης ἠσαΐας τοῦτο προφητεύων ἔλεγε, ὅσοι μὴ ἔχοντες ἀργύριον βαδίσαντες ἀγοράσατε, καὶ φάγεσθε καὶ πίεσθε, ἄνευ ἀργυρίου καὶ τιμῆς, οἶνον καὶ στέαρ.

Λέγεται ἱκεσία, ὡς ἀφ' ἡμῶν ὑπὲρ τῶν ζώντων ὀρθοδόξων, καὶ τῶν ἐν χριστῷ κεκοιμημένων ἀεὶ ἐπιτελουμένη. ὅθεν καὶ ὁ χρυσόστομος ἐν τῇ ἀρχῇ τῇ μυστικῇ φησί. κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων. καὶ πάλιν ποίησον ἡμᾶς ἀξίους γενέσθαι, τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους, ὑπὲρ παντὸς τοῦ λαοῦ σου.

δαμασκη βι. δ. κεφ. ϛ'.

Λέγεται κοινωνία. καὶ ἔστιν ἀληθῶς κατὰ τὸν θεῖον δαμασκηνὸν διὰ τὸ κοινωνεῖν ἡμᾶς δι' αὐτῆς τῷ χριστῷ, καὶ μετέχειν αὐτοῦ τῆς σαρκός τε καὶ τῆς θεότητος. κοινωνεῖν δὲ καὶ ἑνοῦσθαι ἀλλήλοις, δι' αὐτῆς. ἐπεὶ γὰρ ἐξ ἑνὸς ἄρτου μεταλαμβάνομεν οἱ πάντες, ἓν σῶμα χριστοῦ, καὶ ἓν αἷμα, καὶ ἀλλήλων μέλη γενόμεθα, σύσσωμοι χριστοῦ χρηματίζοντες.

Φησὶ καὶ ὁ θεῖος χρυσόστομος. ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν

ἁμαρ-

Λέγεται δῶρον, πρῶτον μὲν ὅτι ὡς ὁ δωρούμενος ἐλευθέρως καὶ ἑκουσίως δωρεῖται ὃ δωρεῖται, οὕτω καὶ ὁ σωτὴρ ἡμῶν ἑκουσίως καὶ ἐλευθέρως τὴν ἁγίαν αὐτοῦ σάρκα μόνος αὐτὸς, δῶρον προσήνεγκε τῷ θεῷ καὶ πατρὶ αὐτοῦ. φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τῇ ἁγίᾳ αὐτοῦ λειτουργείᾳ. ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου κύριε.

Δεύτερον δὲ τὸ δῶρον δεῖ εἶναι τίμιον, ὡραῖον, καὶ πλούσιον. οὕτω καὶ ἡ ἁγία τοῦ κυρίου σὰρξ καὶ τὸ αἷμα, οὕτω ἡ ἐν τῷ σταυρῷ, ὥσπερ καὶ ἡ ὁσημέραι ἀνὰ τὴν οἰκουμένην ἐπιτελουμένη λειτουργία, καὶ μεταβαλλομένη καὶ μετουσιουμένη διὰ τῆς ἀρρήτου δυνάμεως τοῦ πνεύματος τοῦ ἁγίου καὶ τῶν κυριακῶν ῥημάτων, δῶρον ἐστὶν ὑπέρτιμον. ὡραῖον, καὶ πλούσιον. Ἐστὶ μὲν τίμιον καὶ ὑπέρτιμον, ὅτι ἐν αὐτῷ πᾶσαι αἱ ἀρεταὶ, δι᾽ ὧν ἡ τιμή. οὐχ αὐτὰς ἔχων τὰς ἀρετὰς μετοχικῶς, καθάπερ οἱ ἅγιοι, ἀλλ᾽ οἰκείας καὶ ἔνδον. ἐν αὐτῷ γὰρ φησὶν ὁ παῦλος ἐκατοίκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ὡραῖον; ὅτι ἐστὶν ὡραῖος κάλλει παρὰ πάντας βροτούς. πλούσιος; ὅτι οὐδέποτε κενοῦται. καὶ ὅτι τοὺς αὐτοῦ μετέχοντας πλου-

ειν, καὶ τοῦ, ἄριστος. ἤγουν ἡ κατ' ἐξοχὴν ἀρίστη χάρις, ἡ ὑπὲρ παντὸς τοῖς οὖσι γιγνομένη. οὐκ ἄλλη τὶς φύσις ἢ κτίσις κατηξιώθη ποτὲ τοιαύτης χάριτος. τὸ, τὴν σάρκα ἐσθίειν, καὶ πίνειν τὸ αἷμα δηλαδὴ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἀλλ' ἢ μόνον οἱ τῶν ἀνθρώπων. ὁ γὰρ ἄρτος ὁ ἐν τῇ θεία λειτουργία προσφερόμενος καὶ ὁ οἶνος, εἰς σάρκα καὶ αἷμα μετουσιοῦσθαι καὶ μεταποιεῖσθαι ἀναμφιβόλως πιστεύομεν, καὶ φανερῶς ὁμολογοῦμεν, εἶναι ἀληθινὸν σῶμα χριστοῦ, ἐμψυχωμένον καὶ τεθεωμένον, τὸ ἐν τῇ θεία λειτουργία, ὑπὸ τῶν κυριακῶν ῥημάτων, καὶ τῆς ἐντάξεως μεταποιούμενον καὶ μετουσιούμενον.

Λέγεται εὐχαριστεία ὅτι ἡμεῖς δι' ὧν ἐλάβομεν εὐεργεσιῶν εὐχαριστοῦμεν τῷ λυτρωτῇ ἡμῶν. Διὸ καὶ ὁ θεῖος χρυσόστομος φησὶν, ἐν τῇ αὐτοῦ λειτουρ-
„ γία. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας
„ ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατη-
„ ξίωσας. καὶ πάλιν εὐχαριστοῦμέν σοι δέσποτα φι-
„ λάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ πα-
„ ρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων
„ σου, καὶ ἀθανάτων μυστηρίων. Ἔτι ὁ ἅγιος ἰά-
„ κωβος καὶ πρῶτος ἱεράρχης ἐν τῇ αὐτοῦ λειτουρ-
„ γία φησίν. εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν,
„ ὅτι ἔδωκας ἡμῖν παρρησίαν εἰς τὴν εἴσοδον τῶν
„ ἁγίων σου.

Λέγε-

τελέσαντος θεανθρώπου ἰησοῦ. φησὶ γὰρ ὁ μακάριος παῦλος. τοιοῦτον ἔχομεν ἀρχιερέα. ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. ἑβραί. η.

Λέγεται θυσία ἀναίμακτος, πρὸς διαφορὰν τῶν δι' αἱμάτων προσφερομένων θυσιῶν. καὶ τοῦτο παρὰ τοῦ σωτῆρος ἡμῶν παρείληφε τὸ ὄνομα. ὃς ἐγένετο ὑπὲρ ἡμῶν θυσία. παρέδωκε φησὶν ὁ παῦλος ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν, καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας. ἐφέ. ε.

Λέγεται λατρεία. ὡς δὲ ἐξ ἡμῶν προσφερομένη τῇ ἁγίᾳ καὶ ἀδιαιρέτῳ τριάδι. Λέγεται λογικὴ, πρὸς διαστολὴν τῶν ποτὲ θυσιῶν δι' ἀλόγων ζώων προσφερομένων. φησὶ γὰρ ὁ ἅγιος ἰωάννης ὁ χρυσόστομος, καὶ τῆς οἰκουμένης διδάσκαλος ἐν τῇ αὐτοῦ λειτουργίᾳ. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν. ὁμοίως καὶ ὁ φωστὴρ τῆς ἐκκλησίας βασίλειος. πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. εἶτα ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα.

Λέγεται εὐχαριστεία, ἀπὸ τοῦ εὖ καὶ τοῦ χάριν

καὶ ἄλλως.

Λέγεται λειτουργία, καὶ ἀπὸ τοῦ λιτανίας καὶ προσευχῆς ἔργον εἶναι.

Περὶ τῶν σημαινομένων τῆς θείας λειτουργίας.

Λέγεται λειτουργία.
Διακονία.
Ὑπηρεσία.
Ὑπουργία
Ἱερουργία.

Περὶ τῶν πολυωνύμων αὐτῆς.

Λέγεται θυσία ἀναίμακτος.
Λέγεται προσφορά.
Λέγεται λατρεία λογική.
Λέγεται εὐχαριστεία.
Λέγεται τίμιον δῶρον.
Λέγεται ἱκεσία.
Λέγεται κοινωνία.
Λέγεται λειτουργία, παραλαβοῦσα τὸ ὄνομα ἀπὸ τοῦ πρώτου τὴν λειτουργίαν ὑπὲρ ἡμῶν.

τέλος.

δ'. Τέταρτον, τὸν ὁρισμὸν καὶ τὴν ὑπογραφήν.

ε'. Πέμπτον, τὴν ταύτης ὕλην.

ϛ'. Ἕκτον, τὸ ταύτης εἶδος

ζ'. Ἕβδομον τὸ ποιητικὸν αἴτιον.

η'. Ὄγδοον τὸ τελικόν.

θ'. Ἔννατον, ἐν ποίᾳ ὥρᾳ τῆς ἡμέρας, δεῖ ταύτην ἐπιτελεῖν.

ι'. Δέκατον, ποῖα καὶ πόσα ὑπῆρχον ἐν τῇ παλαιᾷ διαθήκῃ, τὰ ταύτην προτυποῦντα.

ια'. Ἑνδέκατον, τίνος χάριν ἡ λειτουργία τελεῖται.

Περὶ τοῦ πόθεν λειτουργία.

Λειτουργία λέγεται παρὰ τὸ λήϊδος ὁ δημόσιος καὶ τὸ ἔργον. τουτέστι δημοσία πρᾶξις. πᾶς γὰρ ἱερεὺς καὶ ἅπασα λειτουργία, ὑπὲρ παντὸς τοῦ πιστοῦ λαοῦ γίγνεται. καὶ τῷ θῷ ὑπὲρ πάντων τῶν ζώντων, καὶ ἐν χῷ κεκοιμημένων προσφέρεται, Ταύτην τὴν θυσίαν ὁ πρῶτος καὶ ἄκρος καὶ μόνος ἅγιος ἀρχιερεὺς, ὑπὲρ πάσης τῆς ἀνθρωπίνης φύσεως, ἑαυτὸν τῷ θῷ καὶ πατρὶ προσήγαγεν, ὁ κς ἡμῶν ἰς χς :-

λαίου, ἱλαρῶσαι τὸ πρόσωπον αὐτοῦ ἐπαύξετο.

ἰεζεκιὴλ κεφ. θ΄. Τέταρτον τηρεῖ αὐτὸν ἄνθρωπον, κατὰ τὸν προ-
φήτην ἰεζεκιήλ. λέγει γὰρ ὁ προφήτης, ὅτι εἶπεν
, ὁ κς τῷ ἀνδρὶ τῷ ἐνδεδυμένῳ τὸν ποδήρη, δίελθε
, μέσον τὴν ἰερουσαλὴμ. καὶ δὸς τὸ σημεῖον ἐπὶ
, τὰ μέτωπα πάντων ἀνδρῶν τῶν καταστεναζόντων,
, καὶ τῶν κατοδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνο-
, μίαις ταῖς γενομέναις ἐν μέσῳ αὐτῶν. καὶ τούτοις
, εἶπεν. ἤγουν τοῖς εἰρημένοις ἐν τῷ αὐτῷ κεφα-
, λαίῳ ἓξ ἀνδράσι, τοῖς ἐν τῇ χειρὶ αὐτῶν πέλυξ.
, πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτε-
, τε. καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ
, μὴ ἐλεήσητε πρεσβύτερον καὶ νεανίσκον καὶ παρ-
, θένον καὶ νήπια, καὶ γυναῖκα ἀποκτείνατε
, εἰς ἐξάλειψιν. ἐπὶ δὲ πάντας ἐφ᾽ οὓς ἐστὶ τὸ ση-
, μεῖον μὴ ἐγγίσητε :~

Περὶ τοῦ μυστηρίου τῆς θείας λειτουργίας.

Καὶ περὶ μὲν τοῦ μυστηρίου τῆς θείας λειτουργίας, δέκα τινὰ σκεπτέον, καὶ ὡς εἰκὸς ἐξεταστέον.

α΄. Καὶ πρῶτον ζητεῖται πόθεν λειτουργία.
β΄. Δεύτερον, τὰ σημαινόμενα αὐτῆς.
γ΄. Τρίτον τὰ πολυώνυμα αὐτῆς

Τέταρ-

Περὶ τοῦ τίνος ἕνεκεν χριόμεθα.

Ἐπειδὴ ὁ βίος ἡμῶν ἐστὶ πειρατήριον κατὰ τὸν μα- ἰώβ. ζ.
κάριον, ἰὼβ, δέον ἡμᾶς ἀγωνίζεσθαι, καὶ ὁ ἀγὼν,
οὐ καθ' ἑτέρου τινός ἐστιν, ἀλλ' ἢ καθ' ὧν ὁ μακά-
ριος φησὶ παῦλος, κατὰ τῶν ἀρχῶν δηλαδὴ, καὶ
τῶν ἐξουσιῶν, καὶ κατὰ τῶν κοσμοκρατόρων τοῦ
σκότους τοῦ αἰῶνος τούτου, διὸ λυσιτελές ἐστι χρίε-
σθαι τῷ θείῳ μύρῳ, τοῖς παλαίουσι καὶ ἀγωνι-
ζομένοις κατὰ τῶν δαιμόνων :~

Περὶ τοῦ τί παρέχει τὸ θεῖον μύρον τοῖς χριομένοις.

Τέσσαρά τινα παρέχει τὸ ἅγιον μῦρον ἤγουν τὸ χρίσμα τῷ χριομένῳ μετὰ τὸ θεῖον βάπτισμα.

Πρῶτον ὁπλοποιεῖ αὐτὸν διὰ τοῦ σημείου τοῦ ζωοποιοῦ σταυροῦ, καὶ θαρρεῖν ποιεῖ κατὰ τῶν πονηρῶν πνῶν.

Δεύτερον ποιεῖ αὐτὸν διαφέρειν τῶν ἄλλων, τῶν μὴ ταύτην ἐχόντων τὴν σφραγίδα, δι' ἧς βασιλέως μεγάλου στρατιώτης, εἶναι δεικνύεται.

Τρίτον κοσμεῖ ὑπερφυῶς τὴν ψυχὴν αὐτοῦ, ἐνίησι γὰρ αὐτῆς ἀοράτως ἡ θεία χάρις, διὰ τοῦ χρίσματος κόσμον ὁ λόφωτον. οἷον ὁ δαδ διὲ-

Περὶ τοῦ ποίους δεῖ χρίειν, καὶ ποίους οὐ δεῖ.

Χρίειν μὲν ἅπαντας ἀναμφιβόλως, τοὺς πρὸς τὸ ἅγιον βάπτισμα τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας προσερχομένους. κατὰ τὸν μη. κανόνα τῆς ἐν λαοδικίᾳ συνόδου. λέγει γὰρ ἐκεῖνος ὅτι φωτιζομένους μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ χριστοῦ.

Ἔτι φησὶν ὁ ἱερὸς κανὼν τῆς ἁγίας καὶ δευτέρας συνόδου ὁ ζ΄. Ὅτι τοὺς ἀρειανοὺς καὶ μακεδονιανούς, καὶ σαββατιανούς, καὶ ναυατιανούς, τοὺς λέγοντας ἑαυτοὺς καθαρούς, καὶ ἀριστερούς, καὶ τοὺς τεσσαρακαιδεκατίτας. ἤγουν τετραδίτας. καὶ ἀπολιναριστάς, δεχόμεθα διδόντας λιβέλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν. μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. καὶ σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον καὶ τοὺς ὀφθαλμούς, καὶ τὴν ῥῖναν καὶ τὸ στόμα, καὶ τὰ ὦτα, καὶ σφραγίζοντες αὐτοὺς λέγομεν. σφραγὶς δωρεᾶς πνεύματος ἁγίου :~

γῆς ἀπυρόων ὑλῶν, ποιότητας ἐχουσῶν εὐόσμους. κατὰ τὸν θεῖον διονύσιον :~

Περὶ τοῦ τί τὸ εἶδος τοῦ μύρου.

Τὸ εἶδος τοῦ μύρου ἐστὶν, ἡ τῶν ῥημάτων δύναμις τοῦ ἀρχιερέως ἐπ' αὐτὸ λεγομένη καὶ εἰδοποιοῦσα αὐτό :~

Περὶ τοῦ τίσιν ἐδόθη κυρίως χρίειν.

Εἰ καὶ μὴ τοῦτο παρὰ τοῖς κανόσι τῶν συνόδων οὐκ ἐδυνήθην εὑρεῖν ὁρισμένως, ὅμως δοκεῖ μοι εἰκότως τοῖς ἀρχιερεῦσι δεδόσθαι προηγουμένως τοῦτο, οἷς καὶ μόνοις ἔξεστι κατασκευάζειν αὐτὸ, κατὰ τὸν ἕκτον τῆς ἐν καρθαγένῃ ἁγίας συνόδου. ἡ δὲ ἀνατολικὴ ἐκκλησία οὐ μόνον τοῖς ἀρχιερεῦσιν, ἀλλὰ δι' αὐτῶν καὶ τοῖς ἱερεῦσι συγκαταβαίνει χρίειν ἀπροκριματίστως, μετὰ τὴν τοῦ ἁγίου βαπτίσματος εὐθὺς τελετήν· τοῦτο οἶμαι συγκεχώρηκεν, ἵνα μή τις τῶν βαπτισθέντων ἀπολειφθῇ, τῆς τοιαύτης χάριτος ὑστερούμενος. ἐξαπίνης καὶ ἀωρὶ οἷα φιλεῖ γίγνεσθαι, ἐξ ἀφανῶν γενόμενος :~

Περὶ

πτιζόμενον. χριστοῦ γὰρ εὐωδία ἐσμὲν φησὶν ὁ μακάριος παῦλος, ἐν τῷ δευτέρῳ τῆς δευτέρας πρὸς κορινθίους ἐπιστολῆς.

Καλεῖται σφραγὶς, ὅτι σφραγὶς ἐστὶ τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς. ὅτε χρίουσι τὸν βαπτισθέντα, τὸ σφραγὶς δωρεᾶς ἐπάδουσιν οἱ χρίοντες ἐπὶ τὸ μέτωπον μελῴδημα. καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὴν ῥῖνα, καὶ τὰ ὦτα, καὶ τὸ στῆθος. χεῖράς τε καὶ πόδας, καὶ τ' ἄλλα μέρη κατὰ τὴν τάξιν τοῦ σώματος, κατὰ τὸν μη΄ κανόνα τῆς ἐν λαοδικαίᾳ συνόδου καὶ τὸν ζ΄. τῆς δευτέρας. ταύτην τὴν σφραγῖδα οἶμαι εἶναι, ἣν ἑώρακεν ὁ τῆς βροντῆς υἱὸς, ἐπὶ τὸ μέτωπον τῶν δούλων τοῦ θεοῦ σφραγιζομένην, ἐν κεφαλαίῳ ἑβδόμῳ τῆς ἀποκαλύψεως.

Καλεῖται χρῖσμα, ὅτι κοινωνεῖ τοὺς χριομένους τῷ ἀληθινῷ καὶ ἀΰλῳ χρίσματι, ὅπερ ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον. διὸ καὶ ὁ ἀληθινὸς μεσίας ἐχρίσθη χριστὸς κατὰ τὸ προφητευόμενον. διὰ τοῦτο φησὶν ὁ ψαλμῳδὸς ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως.

Περὶ τοῦ τίς ἡ τοῦ μύρου ὕλη.

Ἡ ὕλη τοῦ μύρου ἡ πόρρω εἶναι φαμὲν, τὸν ἀφρὸν τὸν χριόμενον. ἡ δ' ἐγγὺς τὸ ἔλαιον. μετὰ συναγω-

γῆς

Περὶ τοῦ πόθεν μύρον.

Πόθεν μύρον; ἀπὸ τοῦ μύρω τὸ ῥέω. ἤγουν τὸ ἐκπιεζόμενον, καὶ ἀποσταζόμενον.

Περὶ τοῦ ποσαχῶς τὸ μύρον.

Τὸ μύρον λέγεται, τετραχῶς.

Λέγεται, μύρον ἀρχιερατικόν.

Λέγεται μύρον διατεριπτικόν.

Λέγεται καὶ μύρον τοῦ φωτίσματος.

Λέγεται μύρον ἀρχιερατικόν, δι᾽ οὗ οἱ πάλαι ἀρχιερεῖς, καὶ βασιλεῖς καὶ οἱ προφῆται ἐχρίοντο.

Λέγεται μύρον διατεριπτικόν, παρὰ τὸ τρίβεσθαι καὶ ἥδιον γίγνεσθαι.

Λέγεται μύρον τοῦ φωτίσματος, ἤγουν τοῦ ἁγίου βαπτίσματος, περὶ οὗ ἡμῖν ὁ λόγος.

Περὶ τῶν σημαινομένων τοῦ χρίσματος.

Τὰ σημαινόμενα τοῦ χρίσματος εἰσὶ ταῦτα. τὸ καλεῖσθαι δηλαδή.

Μύρον

Σφραγίδα

Χρίσμα.

Καλεῖται μύρον, ὅτι εὐωδίαν χριστοῦ ποιεῖ τὸν βαπτι-

β'. Πόθεν μύρον
γ'. Ποσαχῶς τὸ μύρον.
δ'. Τὰ σημαινόμενα αὐτοῦ.
έ. Τίς ἡ αὐτοῦ ὕλη.
ς'. Τὶ τὸ εἶδος.
ζ'. Τίνα δεῖ κυρίως εἶναι τὸν χρίοντα.
η'. Ὁποίους δεῖ χρίειν, καὶ ποίους οὐ δεῖ
θ'. Καὶ τί ἐστιν, ὃ παρέχει τοῖς χριομένοις.
ί. Καὶ τίνος ἕνεκεν χριώμεθα.

Περὶ τοῦ τί ἐστι μύρον.

Τί ἐστι μύρον; μύρον ἐστὶ χάρισμα εὐσεβείας, καὶ εὐχῆς καὶ ἀγάπης, καὶ σωφρονισμοῦ καὶ τῶν ἄλλων ἀρετῶν, δι' ἐλαίου παρὰ τοῦ νομίμου ἀρχιερέως κατασκευασμένον, πρὸς τὴν τῶν βαπτιζομένων ὠφέλειαν.

ἄλλως κατὰ τὸν ἱερὸν διονύσιον τὸν ἀρεοπαγίτην.

Μύρον ἐστὶ τελειωτικὴ χρίσις, εὐώδη ποιοῦσα τὸν τετελεσμένον, καὶ τῷ θεαρχικῷ πνεύματι ἐνοῦσα αὐτόν :~

Περὶ

τότε αὐτοὺς βαπτίζομεν :~

Περὶ τῶν ἀμφιβαλλομένων νηπίων εἰ ἐβαπτίσθησαν.

Φησὶν ὁ ὀγδοηκοστὸς τέταρτος κανὼν, τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τοῖς κανονικοῖς τῶν πρῶν θεσμοῖς κατακολουθοῦντες. ὁρίζομεν δὲ περὶ τῶν νηπίων. ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ ταῦτα διὰ τὴν κήραν, περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσι. χωρὶς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσει αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

Περὶ τοῦ ἁγίου μύρου.

Μετὰ τὴν τοῦ ἁγίου βαπτίσματος πραγματείαν. ἡ τοῦ ἁγίου μύρου ἕπεται τάξις· δύο πρῶτον σκεπτέον κατὰ τοῦτο τὰ εἰωθότα. εἶτα πρὸς τὰ τῆς ὕλης αὐτοῦ χωρητέον. καὶ δὴ πρῶτον ζητεῖται.

α. Τί ἐστι μύρον.

ὑπὸ νόσου τῶν φρενῶν ἐξεκρούσθη, ἀναμφιβό-
λως βαπτισθήσεται.

Ὁ δὲ μέ. κανὼν τῆς ἐν Καρθαγένῃ φησί, τοὺς ἀσθενοῦντας οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει, τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ εἴπωσιν.

Ἔτι φησὶν ὁ ζ. κανὼν τῆς δευτέρας συνόδου, τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ, καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους καὶ μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους φρύγας, καὶ σαβελλιανοὺς τοὺς υἱοπατερίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας καὶ τὰς ἄλλας πάσας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα. μάλιστα οἱ ἀπὸ τῆς γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ὑπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς ἕλληνας δεχόμεθα. καὶ πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους. εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτούς, μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα. καὶ οὕτως κατηχοῦμεν αὐτοὺς καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ

τότε

γούσης, καὶ ἐν ἀκτηρίῳ οἴκῳ, ἔνδον οἰκίας τυγχάνοντι. Ἔτι δὲ ἐν οἴκῳ ἁπλῶς δύναταί τις βαπτίζειν. εὑρίσκεται γὰρ ἐν ταῖς τῶν ἁγίων ἀποστόλων πράξεσιν ἐν κεφ. η. τὸν φίλιππον τὸν ἀπόστολον βαπτίσαι τὸν εὐνοῦχον καθ' ὁδόν. Δοκεῖ δὲ τοῖς εἰρημένοις συμφωνεῖν, καὶ ὁ μδ. κανών. φησὶ γάρ. εἰ δέ τις νοσήσας καὶ ἐν χρῷ κινδύνου γενόμενος τοῦ θείου ἀξιωθείη βαπτίσματος, περὶ τὰ τῆς εὐσεβείας κατηχηθῆναι, ῥαΐσας τῆς νόσου μανθανέτω τῆς πίστεως τὸ μυστήριον. τοίνυν ὁ νοσῶν οὐχὶ ἐν ἐκκλησίᾳ ἀλλ' ἐν οἴκῳ νοσεῖ. ἄρα γ' ἐν οἴκῳ ἔξεστι βαπτίζειν χρείας κατεπειγούσης ἀπροκειματίστως, ὡς εἴρηται.

Περὶ τοῦ ποίους δεῖ βαπτίζειν, καὶ ποίους ἀναβαπτίζειν τῶν αἱρετικῶν, καὶ τῶν ὑπὸ ἄλλων συμβεβηκότων τι παθόντων.

Οὐδὲ βαπτίζειν τοὺς δαιμονῶντας, εἰ καὶ κατηχούμενοι προυπῆρχον. φησὶ γὰρ ὁ δεύτερος κανὼν τοῦ ἁγίου τιμοθέου ἀλεξανδρείας, ὅτι περὶ ἢ τοῦ ἀκαθάρτου δαίμονος καθαρθῆναι ὁ δαιμονῶν, οὐ βαπτιζέσθω.

Ὁ δὲ τέταρτος αὐτοῦ κανὼν φησίν. ἐὰν μὴ ὑπὸ δαίμονος ὁ κατηχούμενος ἐνοχλεῖται, ἀλλ'

κῶ, ἐγὼ ἀφίημί σοι τὰς ἁμαρτίας σου. ἀλλά, τέκνον ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. τοίνυν παύσατε ἀδελφοὶ παύσατε. μὴ οὕτως ἐχθρωδῶς κατὰ τῶν γραικῶν τὴν γλῶτταν καὶ τὴν χεῖρα κινεῖτε, ἵνα μὴ παρὰ θεοῦ δίκας ὑπόσχητε, ὡς μισάδελφοι, καὶ τοῖς ἐκεῖσε παραπεμφθῆτε δικαστηρίοις:~

Περὶ τοῦ ἐν ποίῳ καιρῷ δεῖ βαπτίζειν.

Λέγομεν ὅτι ἀνάγκης κατεπειγούσης, κατὰ πᾶσαν ἡμέραν, καὶ ὥραν, καὶ στιγμήν. ἀνάγκης δὲ μὴ οὔσης φησὶν ὁ με. κανὼν τῆς ἐν λαοδικαία συνόδου, ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας δέχεσθαι εἰς τὸ φώτισμα τῆς τεσσαρακοστῆς. τοῦτο δὲ μὲν ὡς ἐπιτοπλεῖστον οὐ τηρεῖται. τῆς ἐκκλησίας ἴσως τοῦτο τότε ποιούσης, διὰ τὸ τῷ ἁγίῳ σαββάτῳ ἐγγὺς ὄντι τῆς ἁγίας ἀναστάσεως τοὺς κατηχουμένους βαπτίζεσθαι, κατὰ τὴν παλαιὰν συνήθειαν:~

Περὶ τοῦ ἐν ποίῳ τόπῳ δεῖ βαπτίζειν.

Προηγουμένως μὲν καὶ πρώτως ἐν ταῖς ἁγίαις ἐκκλησίαις. καθὰ καὶ ὁ μθ'. κανὼν τῆς ἐν τῷ φούλλω ἁγίας συνόδου φησίν. ἀνάγκης δὲ κατεπει-

γούσης

πτίζω ὁ ἱερὸς εὐαγγελιστὴς ματθαῖος ἐν κεφα- ματθ. κη'.
λαίῳ κη'. φησί. πορευθέντες μαθητεύσατε πάν-
τα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καὶ πάλιν ὁ ἱε-
ρὸς μάρκος τὸ παθητικῶς ἐκφωνεῖσθαι μαρτυρεῖ.
λέγει γὰρ ἐν κεφαλαίῳ ιϛ'. ὁ πιστεύσας καὶ βα- μάρκ. ιϛ'.
πτισθεὶς σωθήσεται. τούτων γοῦν οὕτωσὶ ἐχόντων.
κἂν ἐνεργητικῶς κἂν παθητικῶς ἐπιφωνηθῇ
τὸ ῥῆμα, οὐδὲν ἧττον ὁμολογοῦμεν τὴν χάριν κα-
τέρχεσθαι ἐπὶ τὸν βαπτισθέντα. δι' αὐτὸ δὲ
τοῦτο ἐπιφωνοῦμεν ταπεινοφρονεῖν ἐπὶ πάν-
τα μεμαθηκότες, βαπτίζεται γὰρ φαμὲν ὁ δοῦ-
λος τοῦ θεοῦ συνυπακούεται τό, ὑπ' ἐμοῦ ἢ δι' ἐμοῦ. ὅτι
δὲ τοῦτο παρὰ τοῦ ἰσαποστόλου καὶ διδασκάλου ἐδι-
δάχθημεν, τοῦ τὴν οἰκουμένην χρυσώσαντος χρυ-
σοστόμου, ἐν τῇ ἐξηγήσει τοῦ ια'. κεφαλαίου τῶν πράξεων
λέγοντος δείκνυται. ἐν ᾧ φησὶν ὁ θεῖος λουκᾶς. Ἰω-
άννης μὲν ἐβάπτισεν ἐν ὕδατι, ὑμεῖς δὲ βαπτισθή-
σεσθε. ἰδοὺ τὸ παθητικῶς προσφωνηθὲν, ἐν πνεύματι
ἁγίῳ. λέγει τοίνυν ὁ εἰρημένος διδάσκαλος, δεί-
κνυσιν αὐτοὺς ἤδη μείζους λοιπὸν γεγενημένους
ἰωάννου. εἴγε ἐν πνεύματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν.
καὶ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν πνεύματι ἁγίῳ
ἀλλὰ βαπτισθήσεσθε. διδάσκων ἡμᾶς ταπει-
νοφρονεῖν. Ἔτι καὶ ὁ κύριος οὐκ εἶπε τῷ παραλυτι-

κῷ,

ἐν τῷ περὶ τοῦ βαπτίσματος, καὶ ὁ τὴν καρτε-
λάμπρον ποιήσας, ἐν τῷ περὶ τοῦ ἁγίου βαπτί-
σματος ἄρθρῳ ὀγδόῳ, οἱ οὐ καλῶς τὰ τῆς ἀνατολι-
κῆς ἁγίας ἐκκλησίας μυηθέντες. ἔτι καὶ ὁ διδά-
σκαλος ὁ δουράνδος, ἐν τῷ τετάρτῳ τῶν ἀποφά-
σεων ζητήματι δευτέρῳ, λέγουσιν ἡμᾶς τοὺς γραι-
κοὺς, ὅτι οὐ λέγομεν βαπτίζεται ὁ δοῦλος τοῦ θῦ,
ἀλλὰ ὁ δοῦλος τοῦ χῦ. τοῦτο οὐκ ἄν τις ποτὲ τὴν ἀλή-
θειαν ἀσπαζόμενος ἀποδεῖξαι δυνήσεται. καὶ γὰρ τὰ
τῆς ἐκκλησίας βιβλία, εὐχολόγιά τε φημὶ, καὶ ἡ
τοῦ βαπτίσματος τελετὴ, μάρτυρες τούτου ἀψευ-
δεῖς. δεικνύοντες ἡμᾶς ἀνωτέρους εἶναι παν-
τὸς ψόγου. εἰσέλθατε τοίνυν ἀδελφικῶς εἰσέλ-
θατε, καὶ πῶς τὸ μυστήριον τοῦ βαπτίσματος ἐκ-
τελεῖ ἡ ἀνατολικὴ ἐκκλησία κατασκέψασθε. καὶ
ἀκριβῶς πάντα τὰ ἐκεῖ τελούμενα ἐρευνήσατε.
ὀρθῶς τε καὶ ὀρθοδόξως γίγνεσθαι. καθὼς καὶ ὁ τῶν
θεολόγων ἄρχων διονύσιος ὁ ἀρεοπαγίτης ἐν τῇ
ἐκκλησιαστικῇ ἱεραρχίᾳ περὶ τούτου ἐφιλοσόφη-
σεν. αἱ γὰρ διὰ τῆς θέσεως πεῖραι πάντων τῶν ἀπο-
δείξεων βεβαιότεραι εἰσίν. προφέρομεν δὲ πα-
θητικῶς τὸ βαπτίζεται ῥῆμα οὐχὶ ἐνεργητικῶς.
δυοῖν ἕνεκα. πρῶτον ὅτι κἀν τῷ θείῳ καὶ ἱερῷ εὐ-
αγγελίῳ ἄμφω τὰ ῥήματα. τό, τε βαπτίζω φη-
μὶ, καὶ τὸ βαπτίζεται, εὑρίσκεται. καὶ γὰρ τὸ βα-

πτίζω

ἀβάπτιστα μὴ ὄντα ἐὰν ἀναιρεθῇ τις, εἰς τόπον μὴ ὄν-
τος ἱερέως βαπτισθῆναι, εἰ βαπτίσει δὲ καὶ ὁ ἴδιος
πατὴρ, ἢ οἷος δήποτε ἀνὴρ ὀρθῶς τὰ τῆς ἁγίας ἐκ-
κλησίας φρονῶν. οὐκ ἔστιν ἁμαρτία :~

Τί τὸ τελικὸν αἴτιον.

Τὸ τελικὸν αἴτιον ἐστὶ, τὸ ἀποκαθιστᾶν τὸν βα-
πτιζόμενον μακάριον, ἅγιον, τέλειον, ζῶντα, ῥωμ. ς'.
, υἱοθετὸν τοῦ θεοῦ καὶ οἰκεῖον. φησὶ γὰρ ὁ μακάριος
, παῦλος ἐν τῷ ς'. τῆς πρὸς ῥωμαίους ἐπιστολῆς,
, ὅσοι ἐβαπτίσθημεν εἰς χριστὸν ἰησοῦν, εἰς τὸν θάνατον
, αὐτοῦ ἐβαπτίσθημεν, συνετάφημεν οὖν αὐτῷ
, διὰ τοῦ βαπτίσματος, εἰς τὸν θάνατον, ἵνα ὥσπερ
, ἠγέρθη χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ
, ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. εἰ γὰρ
, σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου
, αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. τοῦτο
, γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυ-
, ρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ
μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

Ἔτι ὁ αὐτὸς ἐν τῷ πρώτῳ πρὸς ἐφεσίους, προο- ἐφέσ. α'.
ρίσας ἡμᾶς εἰς υἱοθεσίαν. Ἔτι γρηγόριος ὁ νύσ- γρηγό-
σης ἐν τῷ περὶ βαπτίσματος φησὶ, πίστις καὶ ὕ- ριος ὁ
δωρ, εἶτα φησὶ τὸ ἐκ τούτων ἀναφυόμενον ἀγαθὸν νύσσης.
ὅσον καὶ οἷον, ὡς πρὸς αὐτὸ τὸ θεῖον ἔχει τὴν οἰκειό-
τητα. ἀλλ' εἰσὶ τινὲς καθάπερ ὁ μπελαρμίνιος

ἐν τῷ

τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνς,
καθὼς ἐν κεφαλαίῳ δευτέρῳ τῶν πράξεων ἱστο-
ρεῖται. ὅτι φησὶν ὁ μέγας βασίλειος, ἐν κεφα-
λαίῳ ιβ'. τῶν περὶ ἁγίου πνς. τὸ ὄνομα τοῦ χῦ, καὶ
ἡ προσηγορία, τοῦ παντὸς ἐστὶν ὁμολογία.

Δηλοῖ γὰρ φησὶν ὁ ἅγιος, τόν τε χρίσαντα
θεὸν, καὶ τὸν χρισθέντα υἱὸν, καὶ τὸ χρίσμα, τὸ
πνα τὸ ἅγιον. ταμιῶ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐστὶν
ἀναγκαῖον ἐκφώνως καὶ αἰσθητῶς τὸ εἶδος ἐπιτά-
δεσθαι. ἤγουν τὸ, βαπτίζεται ὁ δοῦλος τοῦ θεοῦ,
εἰς τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνς:-

Ἴσεον δὲ ὅτι μὴ παρόντος ἱερέως ἀνάγκης κα-
τεπειγούσης, δύναται καὶ ἱεροδιάκων βαπτίζειν.
καὶ λαϊκὸς χριστιανὸς ἄντε γυνὴ ἦ, ἄντε ἄρρεν,
λαμβάνων ὕδωρ, καὶ βαπτίζων τὸ ῥητὸν λέγων.
βαπτίζεται ὁ δοῦλος τοῦ θῦ ὁ δεῖνα. ἢ βαπτίζεται
ἡ δούλη τοῦ θῦ, ὁ δεῖνα. εἰς τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ
υἱοῦ, καὶ τοῦ ἁγίου πνς. περὶ τούτων ἀνάγνωθι
κανόνα τοῦ ἁγίου νικηφόρου κωνσταντινουπόλεως.
ὅστις φησίν. ὅτι κατὰ περίστασιν καὶ μοναχὸς
λιτὸς, ὡσαύτως καὶ διάκονος δύναται βαπτίζειν.

Ἔτι φησὶν ὁ ἅγιος αὐγουστῖνος πρὸς φουρ-
τουνάτον. ὅτι χρείας κατεπειγούσης, εἰώθασιν
οἱ λαϊκοὶ παρέχειν τοῖς βαπτιζομένοις, τὸ βά-
πτισμα. καὶ αὖθις ὁ αὐτὸς φησίν. ὅτι χρὴ τὰ

ἀβά-

ἐνοήσας παρέβη τὴν ἐντολήν. ἡ δὲ ψυχὴ, ὅτι ἐμ-
παθῶς ὠρέχθη τοῦ καρποῦ ἔκλινεν εἰς τὴν τῆς σαρκὸς
ὄρεξιν. ἡ δὲ σὰρξ, ὅτι ἐγεύσατο τοῦ καρποῦ, καὶ ἤσθε-
το τῆς ἡδύτητος. καὶ φθαρτὴ αὐτὴ ἀφθάρτου γέ-
γονε, καὶ ἐπιθυμίας εἰσεπράξατο ποικίλας. ὅθεν
ἡ ἁγία τριὰς ἐπᾳδομένη τῷ βαπτιζομένῳ, τῷ
μὲν νοῒ, τὴν τοῦ φωτὸς τοῦ ἀληθινοῦ δωρεῖται
γνῶσιν, δι' ἧς τὴν αἰώνιον γνωρίζει ζωήν. αὕτη γάρ ἰω. ιζ.
ἐστι φησὶν ὁ εὐαγγελιστὴς ἰωάννης, ἡ αἰώνιος ζωὴ,
ἵνα γινώσκωσι σὲ τὸν μόνον ὄντα ἀληθινὸν θεὸν,
καὶ ὃν ἀπέστειλας ἰησοῦν χριστόν. τῇ δὲ ψυχῇ δωρεῖται τὴν
κάθαρσιν καὶ τὴν ἰσχὺν, καὶ ταύτην ἐνδυναμοῦ-
σα, κατὰ τῆς σαρκὸς χωρεῖν καθοπλίζει, καὶ πρό-
νοιαν αὐτῆς μὴ ποιεῖν, κατὰ τὸ, τῆς σαρκὸς ὑμῶν ρωμ. ιγ.
πρόνοιαν μὴ ποιεῖτε, εἰς τὰς σαρκικὰς ἐπιθυ-
μίας. τῇ δὲ σαρκὶ δωρεῖται τὴν εὐπείθειαν, ὅπως
τῷ κρείττονι, ὑποτάσσηται. πρὸς δὲ καὶ τὴν φθο-
ρὰν ἀποβάλλει ποιεῖν ἐν τῷ ὕδατι. καὶ ἐπιτή-
δειον αὐτὴν κατεργάζεται, ὅπως μετὰ τὴν αὐ-
τῆς ἀνάστασιν, τὴν ἀφθαρσίαν, τὴν κουφότητα,
τὴν λεπτότητα, καὶ τὴν δόξαν, ἀπολήψεται
τῶν δικαίων.

Ἀλλ' ἴσως αὖτις ἐπὶ τὸ εἶδος ἀπορήσει ἐν-
τοῦ βαπτίσματος λέγων, τίνος ἕνεκα οἱ ἀπόστο-
λοι ἐβάπτιζον εἰς τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ χριστοῦ, καὶ οὐχὶ εἰς

μασκηνὸς ἐν τῷ περὶ τοῦ θείου βαπτίσματος.
αὐτὰ τὰ βαπτίσματα χαρακτηρίζει τῆς ἁγίας τριάδος, εἰς τὴν αὐτῶν σύστασίν τε καὶ διαμονήν:~

καὶ ἄλλως.

Ἐπειδὴ ὅλη ἡ ἁγία τριὰς εἰς τὴν τοῦ ἀδὰμ πλάσιν καὶ γένεσιν συνήργησεν, ὁ γὰρ πατὴρ ἔπλασε τὸν ἄνθρωπον, ὁ υἱὸς ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. τὸ δὲ πνεῦμα τὸ ἅγιον ἐζωοποίησεν. καὶ ἐγένετο τὸ φησιν ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. οὕτω καὶ εἰς τὴν τοῦ νέου ἀδὰμ ἔδει γένεσιν συνεργῆσαι. καὶ γὰρ ὁ ἄγγελος ἔφησε τῇ παρθένῳ, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. αὕτη τοίνυν ἡ ἁγία τριὰς ἐν ἑνὶ ἑκάστῳ ἡμῶν συνεργεῖ, εἰς τὴν ἡμῶν ἀναγέννησιν. καὶ γὰρ βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ πατρὸς, τέκνα θεοῦ ἀναγορευόμεθα. τοῦ υἱοῦ, αὐτὸν τὸν χριστὸν ἐνεδυσάμεθα. πνεύματος ἁγίου ἄνωθεν ἐγεννήθημεν:~

βασιλ. δατὶ ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος βαπτιζόμεθα.

καὶ ἄλλως.

Τρία ἦσαν ἅπερ ἥμαρτον ἐν τῷ πρώτῳ ἀνθρώπῳ. ὁ νοῦς. ἡ ψυχή. καὶ ἡ σάρξ. καὶ ὁ μὲν νοῦς σκοτισθεὶς τοῖς τῆς γυναικὸς ῥήμασι καθυπαχθεὶς, κακῶς

ἐνοήσας

, ἀλλήλοις μένοντα, καὶ δι᾽ ἀλλήλων κρουόμενα.
, ἐπὶ οὖν τοῦ καθηγουμένου τῆς ζωῆς ἡμῶν, ὁ θανά-
, τος ὑπόγειος, καὶ κατὰ τὴν κοινὴν γέγονε φύ-
, σιν, ἡ θανάτου μίμησις. ἡ παρ᾽ ἡμῶν γενομένη, ἐν
, τῷ γείτονι διατυποῦται στοιχείῳ. καὶ ὡς ἐκεῖνος
, ὁ ἄνθρωπος ἀναλαβὼν τὴν νεκρότητα μετὰ τὴν ὑπό-
, γειον θέσιν, τριταῖος ἐπὶ τὴν ζωὴν πάλιν ἀνέδρα-
, μεν. οὕτως πᾶς ὁ συνημμένος κατὰ τὴν τοῦ σώμα-
, τος φύσιν ἐκείνῳ, πρὸς τὸ αὐτὸ κατόρθωμα βλέ-
, πων. τὸ κατὰ τὴν ζωὴν λέγω πέρας, ἀντὶ γῆς
, τὸ ὕδωρ ἐπιχεόμενος. καὶ ὑποδεὶς τὸ στοιχεῖον,
, ἐν τρισὶ περιόδοις, τὴν τριήμερον τῆς ἀναστάσεως
, χάριν ἀπεμιμήσατο:~

Περὶ τοῦ εἴδους τοῦ βαπτίσματος.

Τὸ εἶδος τοῦ ἁγίου βαπτίσματός ἐστιν, ἡ τῆς ἁγίας
τριάδος ἐπίκλησις, κατὰ τὴν τοῦ σωτῆρος ἡμῶν
ἐντολήν. πορευθέντες γὰρ ἐνετείλατο τοῖς ἱε-
ροῖς μαθηταῖς καὶ ἀποστόλοις, μαθητεύσατε
πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄ-
νομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. τοῦτο
, ἐστὶ τὸ εἶδος τὸ εἰδοποιοῦν καὶ τὸ τὸ εἶναι παρέχον
, τῷ ὀρθοδόξῳ χριστιανῷ. καὶ διατί τὸ εἶδος ἐστὶν ἡ
ἐπίκλησις τῆς ἁγίας τριάδος; διότι φησὶν ὁ δα-

τικόν. διὰ τοῦτο ἄρα ὕδωρ καὶ οὐκ ἄλλο τι εἰς τὴν
τοῦ ἁγίου βαπτίσματος τελετὴν, παρὰ τοῦ σω-
τῆρος ἡμῶν ἐνομοθετήθη δικαίως.

Ἔτι καθάπερ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ, τοὺς
ἐπὶ τοῦ νῶε τῆς ζωῆς ἐστέρησε, καὶ τῷ θανάτῳ αὐ-
τοὺς παρέδωκε. οὕτω καὶ τοὔδωρ τοῦ βαπτίσματος
τοὐναντίον ποιεῖ, ἀποσμήχων τοὺς βαπτισθέν-
τας τῶν ῥύπων, στερεῖ μὲν αὐτοὺς τοῦ θανάτου,
, παρέχει δὲ αὐτοῖς ζωὴν αἰώνιον. ὁ δὲ ἱερὸς διονύ-
, σιος ἐν τῇ θεωρίᾳ τοῦ περὶ τοῦ βαπτίσματος φησὶ
, καὶ μοι σκόπει πῶς ἐννόει τὰ ἱερὰ, μεθ' ὅσης οἰκειότητος
, ἔχει τὰ σύμβολα. καὶ γὰρ ἐπειδὴ θάνατός ἐστιν
τί ἐστι θάνατος. ἐφ' ἡμῶν, οὐχ ἡ τῆς οὐσίας ἀνυπαρξία, κατὰ τὸ δό-
ξαν ἑτέροις, ἀλλ' ἡ τῶν ἡνωμένων διάκρισις, εἰς τὸ
, ἡμῖν ἀφανὲς ἄγουσα. τὴν ψυχὴν μὲν ὡς ἐν στε-
, ρήσει σώματος ἀειδῆ γενομένην. τὸ δὲ σῶμα ὡς
, ἐν γῇ καλυπτόμενον, καθ' ἕτερόν τι τῶν σωμα-
, τοειδῶν ἀλλοιώσεων, ἐκ τῆς κατ' ἄνθρωπον ἰδέας ἀφα-
, νιζόμενον. οἰκείως ἤδη ὕδατος ὁλικὴ κάλυψις εἰς
, τὴν τοῦ θανάτου, καὶ τῆς ταφῆς ἀειδοῦς εἰκόνα
, παρείληπται.

γρηγόριος νύσσης. Ἔτι φησὶν ὁ μέγας γρηγόριος, ὁ νύσσης ἐν τῷ
περὶ βαπτίσματος λόγῳ, πολλὴν πρὸς ἄλληλα
τὴν συγγένειαν ἔχει γῆ τε καὶ ὕδωρ, μόνα τῶν
στοιχείων βαρύτερα ὄντα καὶ κατωφερῆ, καὶ ἐν-

ἀλλή-

τὴν ἡμῖν παρέστησε. φησὶ δὲ καὶ ὁ προφήτης.
ῥανεῖ γὰρ ὕδωρ ὑμᾶς καθαρόν. ἤγουν φυσικὸν
καὶ στοιχειῶδες. καὶ διατὶ ὕδωρ καὶ οὐκ ἄλλο τῶν ἐρώτ.
στοιχείων, εἰς τὴν τοῦ ἁγίου βαπτίσματος εἰσήχθη· διατὶ ἐν
τελετῇ; λέγομεν ὅτι τὸ ὕδωρ ἐστὶν ἄριστον, καὶ ὕδατι βα
θάπερ καί τις τῶν ἔξω φησίν. ἐστὶν ἀναγκαῖον πτιζόμε
πρὸς τὸ ζῆν. καὶ χρήσιμον πρὸς τὴν τῶν ἀνθρώπων θα.
κάθαρσιν. ἔτι ὁ θεὸς ἐκ τῶν ὑδάτων τὴν τῶν
πτηνῶν φύσιν ἐξήγαγε. οἷς καὶ ἡμεῖς τρόπῳ τι
νὶ ὁμοιούμεθα. καὶ γὰρ καθάπερ ἐκεῖνα ἐκ τῶν
ὑδάτων τὸ εἶναι ἔλαβον, καὶ τὴν πρὸς τὰ ἄνω βα
δίζειν παρὰ τῆς φύσεως ἔλαβον ἰσχὺν, οὕτω καὶ ἡμεῖς
τὸ εἶναι τῆς ἀναγεννήσεως ἐκ τοῦ ἁγίου ὕδατος
τοῦ βαπτίσματος λαμβάνομεν, καὶ ὡς εἰ πτέ
ρυγας χρυσᾶς, τήν τε καθαρότητα φημὶ καὶ τὴν
θείαν χάριν, ἔχοντες, εἰς οὐρανοὺς ἔνθα τὸ πολί
τευμα ἡμῶν ὑπάρχει, ἀναγόμεθα.

Ἔτι τὸ πνεῦμα τοῦ θεοῦ ἐπεφέρετο φησὶν ἡ θεία γεν. ά.
γραφὴ ἐπάνω τοῦ ὕδατος. τίνος ἕνεκεν; ἀπο
κρίνεται ὁ θεῖος βασίλειος λέγων. ζωογονοῦν βασίλειος
αὐτὸ καὶ συνθάλπειν. ὅθεν ἐκεῖνο τὸ ὕδωρ. τοῦτο
εἰκόνιζε, καὶ ὅρα καλῶς καὶ σκόπει πιστῶς. ἐκεῖ
ὕδωρ, ἐνταῦθα ὕδωρ. ἐκεῖ πνεῦμα θεοῦ, καὶ ἐνταῦθα
πνεῦμα θεοῦ. ἐκεῖνο ἐζωογόνει, καὶ τοῦτο ὁμοίως. ἐκεῖ
νο γεννητικὸν, καὶ τοῦτο γεννητικὸν, καὶ καθαρ

τικόν.

πράξεις κεφ. β΄. σωμεν ἄνδρες ἀδελφοί; πέτρος δὲ ἔφη πρὸς αὐτούς. μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν, „ ἐπὶ τῷ ὀνόματι ἰῦ χῦ εἰς ἄφεσιν ἁμαρτιῶν, φησίν. „ οἱ μὲν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον „ αὐτοῦ ἐβαπτίσθησαν. καὶ προσετέθησαν τῇ ἡ„ μέρα ἐκείνῃ ψυχαὶ ὡσεὶ τρεῖς χίλιαι.

Περὶ τοῦ ὁποῖα καὶ πόσα εἰσὶ τὰ τοῦ ἁγίου βαπτίσματος ἀναγκαῖα.

Καὶ πρῶτον μὲν ἐστὶ τὸ ποιητικὸν αἴτιον.
Δεύτερον, τὸ ὑλικόν.
Τρίτον, τὸ εἰδικόν
Τέταρτον, τὸ τελικόν.

χρυσόστομος. Καὶ ποιητικὸν μὲν αἴτιον ἐστὶ προηγουμένως καὶ κυρίως καὶ προκαταρκτικῶς ὁ θεός. φησὶ γὰρ ὁ θεῖος χρυσόστομος ἐν τῇ λγ΄. ὁμιλίᾳ τοῦ κατὰ ἰωάννην ὡς εἴρηται ἡμῖν, ὅτι οὐκ ἄγγελός ἐστιν ὁ ταράσσων τὸ ὕδωρ, ἀλλ᾽ ὁ τῶν ἀγγέλων δεσπότης, ὁ τὸ πᾶν ἐργαζόμενος. Δεύτερον δὲ αἴτιον ὃ, καὶ ὀργανικὸν καὶ λειτουργικὸν λέγεται, ἐστὶν ὁ ἱερεύς.

Τὸ δὲ ὑλικὸν αἴτιον ἐστὶ τὸ ὕδωρ τὸ φυσικὸν καὶ στοιχειῶδες. οὐ γὰρ ἔξεστιν ἐν ἄλλῳ βαπτίζειν ὕδατι. οἷον ἐστὶ τὸ ἐκ τῶν ῥόδων, ἢ βοτανῶν ἄλλων ἐκπιεζόμενον. καὶ γὰρ ὁ κύριος ἐν τῷ φυσικῷ ὕδατι βαπτισθεὶς, τὴν ὕλην ταύ-

τὴν

θάλασσα. δι᾽ ἧς διελθόντες οἱ ἰσραηλῖται, τοῦ θα-
νάτου καὶ τῆς δουλείας τοῦ φαραὼ ἐλυτρώθησαν.
πάντες φησὶν ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάν- κορινθ. α΄.
τες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς κεφ. ι.
τὸν μωϋσῆν ἐβαπτίσαντο, ἐν τῇ θαλάσσῃ. ἔτι
ψάλλει καὶ ἡ ἐκκλησία. θάλασσα ἦν τύπος ὕδα-
τος, ἡ δὲ νεφέλη τοῦ πυρός.

Ἔτι τύπος ἦν καὶ σύμβολον τοῦ ἁγίου βαπτίσματος, ἡ τῶν ποδῶν τῶν μαθητῶν παρὰ τοῦ κυρίου νίψις. κατὰ τὸν θεῖον δαμασκηνόν, ἐν κεφαλαίῳ ἐνενηκοστῷ, τοῦ τετάρτου βιβλίου.

Περὶ τοῦ πότε ἤρξατο τὸ βάπτισμα ἐνεργεῖσθαι.

Ἵνα τὰ πολλὰ ἀφέντες, καὶ τὰς τῶν πολλῶν ἐννοίας παρωσόμεθα λέγομεν. ὅτι ὅτε οἱ ἅγιοι ἀπόστολοι, τὴν τοῦ παναγίου πνς ἐνεδύθησαν δύναμιν κατὰ τὸ γεγραμμένον, καὶ ἡ τοῦ παναγίου πνς κάθοδος ἐν εἴδει πυρὸς, ἐπὶ τὰς κεφαλὰς αὐτῶν κατῆλθε, τότε ἐβάπτιζον. φησὶ γὰρ ὁ θεῖος λουκᾶς ἐν ταῖς πράξεσιν ἐν κεφαλαίῳ β΄. ἡνίκα ὁ πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, σὺν τοῖς ἕνδεκα σταθεὶς ἐδημηγόρησε τοῖς ἐκεῖ. ὅτι ἀκούσαντες κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους, τί ποιήσωμεν;

τω, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν

χρυσοστόμου. τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ χριστοῦ. καὶ ὁ θεῖος χρυσόστομος, οὐ χεὶρ ἐπάγει καθὼς ἐκεῖ τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ πνεῦμα. οὐ μόριον ἀλλ᾽ ὅλον ἄνθρωπον περιτέμνει. σῶμα καὶ τοῦτο σῶμα κἀκεῖνο, ἀλλὰ τὸ μὲν, σαρκικῶς, τὸ δὲ πνευματικῶς περιτέμνεται. ἀλλ᾽ οὐχ ὡς ἰουδαῖοι. οὐ γὰρ σάρκα, ἀλλὰ ἁμαρτήματα ἀπεξεδύσασθε.

ἀθανάσιος. Καὶ ὁ μέγας ἀθανάσιος ἐν τῷ περιτομῆς λόγῳ. τύπος ἦν ἡ περιτομή φησιν τοῦ βαπτίσματος. ἔτι ὁ ἅγιος ἰωάννης ὁ δαμασκηνὸς ἐν βιβλίῳ τετάρτῳ φησίν, ὅτι ἡ περιτομὴ τύπος ἦν τοῦ βαπτίσματος.

χρυσοστόμου. Ἔτι καὶ ἡ προβατικὴ κολυμβήθρα, τύπος ἦν τοῦ βαπτίσματος, κατὰ τὸν θεῖον χρυσόστομον.

, φησὶ γὰρ ἐν τῇ λϛ. ὁμιλίᾳ, τοῦ κατὰ ἰωάννην εὐ-
, αγγελίου. τίς ὁ τῆς θεραπείας τρόπος οὗτος; ποῖον
, ἡμῖν μυστήριον αἰνίττεται; οὐχ ἁπλῶς οὐδὲ εἰκῆ ταῦ-
, τα ἀναγέγραπται ἀλλὰ τὰ μέλλοντα ἡμῖν ὡς
, ἐν εἰκόνι καὶ τύπῳ προϋπογράφει, καὶ αὖθις. τί
, οὖν ἐστὶν ὃ ὑπογράφει; ἔμελλε βάπτισμα δεδό-
, σθαι, πολλὴν δύναμιν ἔχον καὶ δωρεὰν μεγίστην,
, βάπτισμα πάσας ἁμαρτίας καθαῖρον, καὶ ἀντὶ
, νεκρῶν, ζῶντα ἐμποιοῦν.

ἐξοδ. ιδ. Ἔτι τύπος ἦν τοῦ βαπτίσματος, ἡ ἐρυθρὰ

θά-

φώτισμα.
ἀφθαρσίας ἔνδυμα.
λουτρὸν παλιγγενεσίας.
καὶ σφραγίς.
καὶ καθάρσιον.

Δῶρον μὲν καλεῖται. ὅτι δωρεὰ δίδοται τοῖς αἰτοῦσιν αὐτό. φησὶ γὰρ ὁ προφήτης ἠσαΐας· ὅσοι μὴ ἔχοντες ἀργύριον, βαδίσαντες ἀγοράσατε.

Καλεῖται χάρισμα, ὡς πρὸς τοὺς ὀφείλοντας βάπτισμα, ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας.

Χρίσμα ὅτι ἐστὶν ἱερὸν, καὶ βασιλικὸν φώτισμα, ὡς λαμπρότης.

Ἔνδυμα, ὡς αἰσχύνης κάλυμμα. λουτρὸν δὲ, ὡς ἔκπλυσις.

Σφραγὶς, ὡς τήρησις, καὶ τῆς δεσποτείας τοῦ χριστοῦ σημεῖον.

Περὶ τοῦ πόσα καὶ ὁποῖα προδετύπουν τὸ μυστήριον τοῦ βαπτίσματος.

Καὶ πρῶτον μὲν ἡ περιτομή, καθὰ ὁ παῦλος βοᾷ. κολασ.
αὐτὸς ἐστὶ φησὶν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξου- β΄.
σίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιή-

ματου, κατὰ τὸ, οὐκ ἔτι ζῶ ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ χριστός. εἶπε τῆς ταφῆς, κατὰ τὸ, συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος. εἶπε τῆς ἀναστάσεως, κατὰ τὸ συνηγέρθημεν αὐτῷ, διὰ τῆς ἀναστάσεως.

ἀμβρόσιος. Ὁ δὲ θεῖος ἀμβρόσιος, ἐν τῷ περὶ μυστηρίων φησίν, ὅτι τὸ βάπτισμα ἐστὶ διάβασις ἐκ τῶν γηΐνων πρὸς τὰ ἐπουράνια, διὰ τοῦ ὕδατος τοῦ βαπτίσματος.

δαμασκη. βι. δ΄. Ὁ δὲ ἰωάννης ὁ δαμασκηνὸς ἐν βιβλίῳ τετάρτῳ, ἐν τῷ περὶ βαπτίσματος φησίν. Ὅτι τὸ βάπτισμα ἐστὶ λήψεως ἀρχὴ τοῦ ἁγίου πνεύματος, καὶ ἀρχὴ ἑτέρου βίου, καὶ σφραγὶς τῆς παλιγγενεσίας, καὶ φυλακτήριον καὶ φωτισμὸς ἡμῶν:~

καὶ ἄλλως.

Βάπτισμα ἐστὶ μυστήριον, δύναμιν ἔχον ἐν ὕδατι πολλήν, καὶ δωρεὰν μεγίστην ἁμαρτίας καθαῖρον, διὰ τῆς ἐπικλήσεως τῆς ἁγίας τριάδος. καὶ ἀντὶ νεκρὸν ζῶντα ποιοῦν τὸν λαμβανόμενον.

χρυσό. ἐκ τοῦ ϛ. κεφ. τοῦ κατ᾿ ἰω.

Περὶ τῶν πολυωνύμων τοῦ βαπτίσματος.

Τὸ βάπτισμα καλεῖται δῶρον,
χάρισμα

φώ

ἄλλως.

ἐκ τῶν γρηγορίου τοῦ θεολόγου ἐν τῷ περὶ βαπτίσματος.

Βάπτισμά ἐστι φώτισμα, λαμπρότης ψυχῶν, βίου μετάθεσις, βοήθεια τῆς ἀσθενείας τῆς ἡμετέρας.

καὶ ἄλλως ἐκ τῶν τοῦ εἰρημένου.

Τὸ φώτισμα σαρκὸς ἐστὶν ἀπόθεσις, πνεύματος ἀκολούθησις, λόγου κοινωνία. πλάσματος ἐπανόρθωσις, κατακλυσμὸς ἁμαρτίας, φωτὸς μετουσία, σκότους κατάλυσις.

Φώτισμά ἐστιν ὄχημα πρὸς θεόν. συνεκδημία χριστοῦ. ἔρεισμα πίστεως. νοῦ τελείωσις. κλεῖς οὐρανῶν βασιλείας, ζωῆς ἄμειψις, δουλείας ἀφαίρεσις, δεσμῶν ἔκλυσις, συνθέσεως μεταποίησις.

Φώτισμά ἐστι θεοῦ δῶρον τὸ κάλλιστον, καὶ μεγαλοπρεπέστατον:~

καὶ ἄλλως.

βασιλ. ἐν τῷ πῶς βαπτί-

Βάπτισμά ἐστιν, ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου, τῆς ταφῆς καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. εἶπεν ὁ ἅγιος πατὴρ ἡμῶν οὗτος, ὁμοίωμα τοῦ σταυροῦ, κατὰ τό, οἱ δὲ τὴν τοῦ χριστοῦ σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. εἶπε τοῦ θανά- γαλατ. ε.

ψαλ.λη. παρακληθήσονται. καὶ ὁ προφήτης δαδ. τῶν
δακρύωμμου μὴ παρασιωπήσῃς. καὶ τὴν κλίνην
μου λούσω καθ' ἑκάστην νύκτα δάκρυσι φησί. καὶ
τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

δαμασκ. Ὁ δὲ ἅγιος ἰωάννης ὁ δαμασκηνὸς, καὶ ἕτερα βα-
βι.δ'. πτίσματα τρία προσέθηκε τούτοις.
γενε.ς'. τὸ τοῦ κατακλυσμοῦ δηλαδὴ
τὸ τοῦ νόμου.
λουκ.ις'. καὶ τὸ τῆς μελλούσης κρίσεως, οὐ σωτήριον ἀλλὰ
κολαστήριον.

Τοσούτων γοῦν ὄντων τῶν βαπτισμάτων, ὁ λόγος ἡμῖν ἐστὶ, περὶ τοῦ σωτηριώδους βαπτίσματος τοῦ κυρίου. ὅπερ καὶ ὁρίζοντες λέγομεν.

Διονυσιου κεφ.β'. Ἐκ τῶν τοῦ ἱεροῦ διονυσίου τοῦ ἀρεοπαγίτου καὶ τῶν αὐτοῦ ἐξηγουμένων μαξίμου τε καὶ ἄλλων.

Βάπτισμα ἐστὶ ἀρχὴ καὶ ὁδοποίησις τῆς πρὸς τὸν θεὸν οἰκειώσεως, καὶ τῆς τῶν οὐρανίου κληρονομίας. ἐὰν γὰρ μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

ἐκκλησιαστικῆς ἱεραρχίας.

ἄλλως.

καὶ τὸ, διὰ δακρύων.

, καὶ τὸ μνῆμα μωϋσέως ὁ μακάριος παριστᾷ παῦλος. κορινθ. ά.
, πάντες γὰρ φησὶν ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ κεφ. ιά.
, πάντες εἰς τὸν μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νε-
, φέλῃ.

Τὸ δὲ, τοῦ ἰωάννου οἱ εὐαγγελισταὶ μαρτυ- ματ. γ'.
, ροῦσιν. ἐξεπορεύετο φησὶν ὁ εὐαγγελιστὴς ματ-
, θαῖος πρὸς αὐτὸν ἱεροσόλυμα, καὶ πᾶσα ἡ ἰου-
, δαῖα, καὶ πᾶσα ἡ περίχωρος τοῦ ἰορδάνου, καὶ ἐβα-
, πτίζοντο ἐν τῷ ἰορδάνῃ ὑπ' αὐτοῦ ἐξομολογού-
, μενοι τὰς ἁμαρτίας αὐτῶν. τὸ δὲ τοῦ σωτῆρος ματθ.
, ὁμοίως οἱ εὐαγγελισταὶ φανῶς κηρύττουσι. πο- κεφ. κή.
, ρευθέντες φησὶν εἰς τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς
, εἰς τὸ ὄνομα τοῦ πρς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς
, διδάσκοντες αὐτοὺς τηρεῖν, πάντα ὅσα ἐνετει-
, λάμην ὑμῖν.

Τὸ δὲ μαρτυρίου. ὁ θεῖος ἰωάννης ὁ εὐαγγελι- ἀποκ. ζ.
, στὴς ἐν τῷ ζ. κεφαλαίῳ τῆς ἀποκαλύψεως φη-
, σίν. εἶδον ἀπὸ παντὸς ἔθνους καὶ φυλῆς πε-
, ριβεβλημένους στολὰς λευκὰς, οἵτινες ἔφερον καὶ
, φοίνικας ἐν ταῖς χερσὶν αὐτῶν.

Τὸ δὲ διὰ δακρύων, ὁ κς διὰ τοῦ εὐαγγελιστοῦ
, ματθαίου παρεισάγει. δεῦτε λέγων πάντες οἱ
κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύ- ματθ. ιά.
σω ὑμᾶς. καὶ μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ καὶ έ.

Βάπτισμα λέγεται, παρὰ τὸ βάλλω τὸ τι ῥύπτω. καὶ γὰρ οὐδὲν ἄλλο προηγουμένως καιρίαν ἐπάγει τὴν πληγὴν τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ ὡς τὸ θεῖον βάπτισμα. ὃ, κατακλυσμός ἐστι τῆς ἁμαρτίας κατὰ τὸν πολὺν ἐν θεολογίᾳ γρηγόριον :~

ἐν τῷ περὶ τοῦ ἁγίου βαπτίσματος λόγῳ.

Περὶ τῶν σημαινομένων τοῦ βαπτίσματος.

Βάπτω λέγεται τὸ βρέχω.
βάπτω, τὸ χρωματίζω.
βάπτω, τὸ πλύνω.
βάπτω, τὸ κοινῶς βουτῶ.

Περὶ τοῦ ποσαχῶς τὸ βάπτισμα.

Κατὰ μὲν τὸν θεολόγον γρηγόριον ἐν τῷ εἰς τὰ ἐπιφάνια λόγῳ, πενταχῶς ἐστί.
ἤγουν τὸ τοῦ μωϋσέως.
τὸ τοῦ ἰωάννου.
τὸ τοῦ σωτῆρος ἡμῶν.
καὶ τὸ τοῦ μαρτυρίου.

Περὶ τοῦ ἐν ποίῳ καιρῷ δεῖ βαπτίζειν.
Περὶ τοῦ ἐν ποίῳ τόπῳ δέον τὸ βάπτισμα ἐπιτελεῖν.
Περὶ τοῦ ποίους δεῖ ἀναβαπτίζειν, καὶ ποίους οὐ δεῖ.
Περὶ τῶν ἀμφιβαλλομένων νηπίων εἰ ἐβαπτίσθησαν.

Περὶ τοῦ πόθεν βάπτισμα.

Βάπτισμα λέγεται, ἀπὸ τοῦ βάπτω τὸ πταῖσμα.
καὶ γὰρ καθάπερ τις, εἰ ῥερυπωμένον φορῶν
σῶμα βαπτίσει αὐτὸ ἐν ὕδατι· τὸν μὲν, ῥύπον
πάντως ἀποβάλλει τοῦ σώματος, τὸ δὲ σῶμα
καθαρίζει τῆς ἀκαθαρσίας, οὕτω καὶ ὁ βαπτισθεὶς,
ἐν τῇ ἁγίᾳ καὶ ὀρθοδόξῳ πίστει τῶν χριστιανῶν·
ἀποβάλλει μὲν οἱονεί τινα ῥύπον τῆς ψυχῆς καὶ
τοῦ σώματος τὸ πταῖσμα, τουτέστι τὸ προπατορι-
κὸν ἁμάρτημα, ἐν τῇ καταδύσει τοῦ ὕδατος, καὶ
ἀποκαθαρθεὶς καὶ λαμπρυνθεὶς, χιτῶνα θεοΰ-
φαντον ἀμφιέννυται, τὴν χάριν φημὶ τὴν θεί- ἰω. ι.
αν, καὶ τὴν ζωήν, ἐγὼ ἦλθον φησὶν ὁ κύριος ἵνα ζωὴν
ἔχωσιν, ἣν ἀπώλεσαν διὰ τῆς παραβάσεως.

καὶ

κεφ. θ'. Περὶ τῆς τάξεως τῶν μυστηρίων.

Πρώτην ἔχει τάξιν τὸ θεῖον βάπτισμα, ὅτι αὐτὸ ἐστὶν οἱονεί τις βάσις τῶν ἄλλων μυστηρίων, καὶ ὅτι αὐτοῦ μὴ ὄντος, τὰ ἄλλα χριστιανὸν ἀποτελεῖν οὐ δύναται.

δεύτερον τὸ ἅγιον μῦρον

τρίτον ἡ ἱερωσύνη.

τέταρτον, ἡ θεία κοινωνία.

πέμπτον ἡ ἐξομολόγησις

ἕκτον ὁ τίμιος γάμος

ἕβδομον τὸ εὐχέλαιον.

Περὶ τοῦ ἁγίου βαπτίσματος.

Πρῶτον ζητεῖται πόθεν βάπτισμα.

Δεύτερον, τὰ σημαινόμενα τοῦ βαπτίσματος.

Τρίτον ποσαχῶς λέγεται τὸ βάπτισμα.

Τέταρτον τί ἐστι βάπτισμα.

Πέμπτον τὰ πολυώνυμα τοῦ βαπτίσματος.

Περὶ τοῦ πόσα καὶ ποῖα προδιετύπουν τὸ βάπτισμα.

Πότε ἤρξαντο βαπτίζειν οἱ ἀπόστολοι.

Περὶ τοῦ πόσα καὶ ποῖα εἰσὶ τὰ τοῦ ἁγίου βαπτίσματος ἀναγκαῖα.

σας. Διὸ καὶ εἰς τὸν ἐν κανᾷ τῆς γαλιλαίας πα-
ραγενόμενος γάμον, τοῦτον εὐλόγησε δείξας τὴν
ἔννομον συζυγίαν αὐτοῦ εἶναι θέλησιν καὶ βου-
λήν. διὸ καὶ δόγμα ἐνέθηκε κατὰ τῶν τὰς νο- ἰω. β'.
μίμους γυναῖκας μοιχεύειν προαιρουμένους λέ-
γων. οὓς ὁ θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω. ὡς ματ. ιθ'.
ταύτης μόνης τῆς αἰτίας ἐξ ἰσχυούσης τὴν διάζευ-
ξιν ποιεῖν, καὶ ἀποστάσιον πέμπειν τῇ γυναικί.
πᾶς γὰρ φησὶν ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ ματ. ε.
παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶ-
σθαι. ἄρα ὁ εὑρὼν ἐπὶ πορνείᾳ ταύτην, ἀπο-
λῦσαι δύναται ἀπροκριματίστως.

Τὴν δὲ μετάνοιαν ὁ αὐτὸς σωτὴρ ἡμῶν διὰ
τῶν αὐτοῦ θείων προφητῶν, καὶ ἁγίων καὶ ἱερῶν
εὐαγγελιστῶν ἐνετείλατο. Ἐπιστράφητε πρός με
φησὶ διὰ τοῦ προφήτου μαλαχίου. καὶ ἐπιστρα- μαλα-
φήσομαι πρὸς ὑμᾶς. καὶ διὰ τοῦ ἱεροῦ εὐαγγελίου, χίας.
μεγάλη χαρὰ γίνεται ἐν οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτω-
λῷ μετανοοῦντι.

Τὸ δὲ εὐχέλαιον, διὰ τοῦ θείου ἰακώβου τοῦ ὑπ'
αὐτοῦ τοῦ κυρίου χειροτονηθέντος, πρώτου ἱεράρχου
τῶν ἱεροσολύμων, ποιεῖσθαι ἐνομοθέτησε :~

ψαλ. ἱερεὺς ἦν κατὰ τὴν τάξιν μελχισεδέκ. σὺ γὰρ
φησὶν ἱερεὺς εἶ κατὰ τὴν τάξιν μελχισεδέκ.

Καὶ ὁ μακάριος παῦλος πρὸς ἑβραίους φη-
ἑβραί. ς'. σίν. ὁ χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν
, μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τε-
, λειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν, οὐ
, ταύτης τῆς κτίσεως, οὐ δὲ δι᾽ αἵματος τράγων καὶ
, μόσχων. διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφά-
, παξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.
αὐτὸς ὁ σωτὴρ καὶ τὴν θείαν πρῶτος ἐπετέλε-
σεν ἱερουργίαν, ἡνίκα τὸν ἄρτον διεμέρισε, καὶ
τὸ ποτήριον. καὶ τοῖς ἱεροῖς αὐτοῦ μαθηταῖς εἶπε.
λάβετε φάγετε τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ
, ὑμῶν κλώμενον. καὶ πίετε ἐξ αὐτοῦ πάντες τοῦ-
, το ἐστὶ τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑ-
, πὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν
, ἁμαρτιῶν.

Ἐκ τῶν εἰρημένων γοῦν δῆλον ὅτι ὁ κύριος ἡ-
μῶν καὶ θύτης καὶ θῦμα γέγονεν, καὶ ἱερεὺς καὶ
ἱερεῖον, ἑαυτὸν θύσας τῷ θεῷ καὶ πατρί, ὡς τὸ
ἴδιον, αἷμα λύτρον, ὑπὲρ τῆς τοῦ κόσμου σωτη-
ρίας ἀνήνεγκε.

Τὸν δὲ τίμιον γάμον ἐνέδειξεν ὅτι θέλημα
γεν. α'. αὐτοῦ εἶναι γίνεσθαι. αὐτὸς γὰρ ἦν ὁ ἐξ ἀρχῆς
τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα βοηθὸν αὐτῷ πλά-
σας.

σας. Διὸ καὶ εἰς τὸν ἐν κανᾷ τῆς γαλιλαίας πα-
ραγενόμενος γάμον, τοῦτον εὐλόγησε δείξας τὴν
ἔννομον συζυγίαν αὐτοῦ εἶναι θέλησιν καὶ βου-
λήν. διὸ καὶ δόγμα ἐνέθηκε κατὰ τῶν τὰς νο- ἰω. β'.
μίμους γυναῖκας μοιχάειν προαιρουμένους λέ-
γων. οὓς ὁ θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω. ὡς ματ. ιθ'.
ταύτης μόνης τῆς αἰτίας ἐξ ἰσχυούσης τὴν διάζευ-
ξιν ποιεῖν, καὶ ἀποστάσιον πέμπειν τῇ γυναικί.
πᾶς γὰρ φησὶν ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ ματ. ε.
παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶ-
σθαι. ἄρα ὁ εὑρὼν ἐπὶ πορνείᾳ ταύτην, ἀπο-
λύσαι δύναται ἀπροκριματίστως.

Τὴν δὲ μετάνοιαν ὁ αὐτὸς σωτὴρ ἡμῶν διὰ
τῶν αὐτοῦ θείων προφητῶν, καὶ ἁγίων καὶ ἱερῶν
εὐαγγελιστῶν ἐνετείλατο. ἐπιστράφητε πρός με
φησὶ διὰ τοῦ προφήτου μαλαχίου. καὶ ἐπιστρα- μαλα-
φήσομαι πρὸς ὑμᾶς. καὶ διὰ τοῦ ἱεροῦ εὐαγγελίου, χίας.
μεγάλη χαρὰ γίνεται ἐν οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτω-
λῷ μετανοοῦντι.

Τὸ δὲ εὐχέλαιον, διὰ τοῦ θείου ἰακώβου τοῦ ὑπ'
αὐτοῦ τοῦ κυρίου χειροτονηθέντος, πρώτου ἱεράρχου
τῶν ἱεροσολύμων, ποιεῖσθαι ἐνομοθέτησε :-

ψαλ. ἱερεὺς ἦν κατὰ τὴν τάξιν μελχισεδέκ. σὺ γὰρ φησιν ἱερεὺς εἶ κατὰ τὴν τάξιν μελχισεδέκ.

Καὶ ὁ μακάριος παῦλος πρὸς ἑβραίους φη-
ἑβραί ς'. σίν. ὁ χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν
, μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τε-
, λειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν, οὐ
, ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ
, μόσχων. διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφά-
, παξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.

αὐτὸς ὁ σωτὴρ καὶ τὴν θείαν πρῶτος ἐπετέλε-
σεν ἱερουργίαν, ἡνίκα τὸν ἄρτον διεμέρισε, καὶ
τὸ ποτήριον. καὶ τοῖς ἱεροῖς αὐτοῦ μαθηταῖς εἶπε.
λάβετε φάγετε τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ
, ὑμῶν κλώμενον. καὶ πίετε ἐξ αὐτοῦ πάντες τοῦ-
, το ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑ-
, πὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν
, ἁμαρτιῶν.

Ἐκ τῶν εἰρημένων γοῦν δῆλον ὅτι ὁ κύριος ἡμῶν καὶ θύτης καὶ θῦμα γέγονεν, καὶ ἱερεὺς καὶ ἱερεῖον, ἑαυτὸν θύσας τῷ θεῷ καὶ πατρί, ὡς τὸ ἴδιον, αἷμα λύτρον, ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀπήνεγκε.

Τὸν δὲ τίμιον γάμον ἐνέδειξεν ὅτι θέλημα
γεν. α'. αὐτοῦ εἶναι γίνεσθαι. αὐτὸς γὰρ ἦν ὁ ἐξ ἀρχῆς τὸν ἄνδρα καὶ τὴν γυναῖκα βοηθὸν αὐτῷ πλά-
σας.

Περὶ τοῦ τίς ἐστιν ὁ τὰ μυστήρια διαταξάμενος. κεφ. κ'.

Ο τὰ μυστήρια διαταξάμενος, καὶ νομοθετήσας αὐτός ἐστιν ὁ κς ἡμῶν ἰς χς. αὐτὸς γὰρ πρῶτος ἐβαπτίσθη ὑπὸ ἰωάννου ἐν τῷ ἰορδάνῃ, οὐχ ὡς χρήζων καθάρσεως, οὐ γὰρ ὑπὸ τῷ προπατορικῷ ἦν ἁμαρτήματι, οὔτε μὴν ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, ἀλλ' ἵνα ἡμᾶς ἀποπλύνῃ, καὶ καθαρίσῃ πάντας καὶ ἁγιάσῃ καὶ τὴν τῶν ὑδάτων φύσιν, καθὼς καὶ τὰ λοιπὰ πάντα ἡγίασε τῇ αὐτοῦ παρουσίᾳ. αὐτὸς ὁ λυτρωτὴς ἡμῶν, τοὺς ἁγίους αὐτοῦ μαθητὰς ἐξαποστείλας βαπτίζειν, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνς πάντα τὰ ἔθνη, τὸ μυστήριον τοῦ ἁγίου βαπτίσματος ἐνομοθέτησεν.

Αὐτὸς ὁ κς ἡμῶν ὑπὸ πρς χρισθεὶς, τῷ θεουργικῷ ἐλαίῳ, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ψαλμῳ- δαδ.
δοῦ, διὰ τοῦτο ὁ θεὸς ἔχρισέ σε ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ οἱ μαθηταὶ αὐτοῦ ὑπ' αὐτοῦ διδαχθέντες, ἐλαίῳ ἤλειφον τοὺς νοσοῦντας καθὼς ὁ ἱερὸς μάρκος φησί. τοῦτο τὸ χρίσματος μυστήριον διεσήμαινεν. ἔτι καὶ τὸ τῆς πόρνης ἐκεῖνο μύρον, τοῦτο παρεδήλου.

Τὴν δὲ ἱερωσύνην, καὶ τὴν θείαν λειτουργίαν, αὐτὸς ὁ κύριος ἡμῶν ἦν ὁ νομοθετήσας. ὁ γὰρ

λουκ. ιε'. Ἐὰν στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ ἀλλαχοῦ μεγάλη χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. καὶ ὁ θεῖος ἰάκωβος. ἐξομολογεῖσθε φησὶν ἀλλήλοις τὰ ἁμαρτήματα, καὶ εὔχεσθαι ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε.

Ἐστὶ καὶ ὁ γάμος ἀναγκαῖον κατά τι οὐ μὴν ἁπλῶς. πρὸς παιδοποιίαν γὰρ καὶ διατήρησιν τοῦ εἴδους, παρὰ τοῦ δημιουργοῦ δέδοται καὶ συγκεχώρηται,

κεφ. ζ'. Περὶ τοῦ πόσα καὶ ποῖα τῶν μυστηρίων, παρέχουσι σφραγίδα, τοῖς ταῦτα λαμβάνειν ἀνεξάλειπτον.

Τὰ μυστήρια τὰ παρέχοντα τοῖς αὐτὰ λαμβάνουσι, χαρακτῆρας ἀνεξαλείπτους. εἰσὶ τὸ θεῖον δηλαδὴ βάπτισμα, καὶ ἡ ἱερωσύνη. ἕτεροι δὲ καὶ τὸ θεῖον μύρον, εὐσεβῶς καὶ ὀρθῶς λέγουσιν εἶναι. τούτων γὰρ αἱ σφραγῖδες οὐκ ἀποβάλλονται, οὔτε μὴν ἐξαλείφονται. εἰ δὲ καί τις ἐξ αὐτῶν γένοιτο, καὶ αὖθις ἀνασταίητο, οὐκ ἂν ἐδεήθη ἀναβαπτισμοῦ, οὔτε μὴν ἀναχειροτονήσεως, ἀνεξαλείπτων μενουσῶν τῶν ἐπ' αὐτῷ σφραγίδων μυστηρίων ὡς εἴρηται.

θαῤῥαλέους ποιοῦσα, πρὸς τοὺς τῆς ἀρετῆς καμά-
τους αὖθις διεγείρει λαμπρῶς.

Τὸ δὲ τῶν ἀποδημούντων ἐστὶν, οἱ ἀπὸ τῶν προσκαίρων τούτων, πρὸς τὰ αἰώνια διαβαίνοντες ὀρθόδοξοι. οὓς διά τε προσευχῶν τοῦ ἐλαίου ἡ ἁγία τοῦ θεοῦ ἐφοδιάζει ἐκκλησία, καὶ καθοπλίζει στεῤῥῶς, ὥστε τοὺς ἄνω χώρους ῥαδίως διϊέναι. Τὸ δὲ τῶν ὑπηρετῶν ἐστὶ, τὸ τῆς ἱερωσύνης ἅγιον τάγμα, οἷς ἐνεπιστεύθη ἡ θεόπνευστος γραφὴ, τιμο. β'. πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρ- κεφ. γ'. θωσιν, πρὸς παιδείαν. αὕτη ἐστὶν ἡ ἐργασία, σὺν τοῖς ἄλλοις. τοῖς παρὰ τοῦ κυρίου δεδωρημένοις. ἤγουν τοῦ διδάσκειν, τοῦ βαπτίζειν, καὶ τοῦ τὰς ἁμαρτίας λύειν καὶ δεσμεῖν. ταῦτα πάντα παρὰ τῶν θεοκηρύκων ἀποστόλων ἀλληλοδιαδόχως, ἐπὶ τοὺς ἀνὰ τὴν οἰκουμένην ὀρθοδόξους ἐπισκόπους διαβαίνει. αὕτη ἐστὶν ἡ ἐργασία τῆς πνευματικῆς ἀμπέλου, ἣν ἡμᾶς προσήκει διά τε λόγου, καὶ ἔργων ἀγαθῶν, καὶ ἠθῶν καὶ ζωῆς παραδειγματικῆς καλλιεργεῖν. καὶ τηρεῖν ὡς οἷόν τε, ὑμεῖς γὰρ ἔφησεν ὁ κύριος ἐστὲ τὸ ἅλας τῆς γῆς, καὶ τὸ φῶς τοῦ κόσμου.

Τὸ δὲ τῶν τὴν ἄμπελον αὔξειν πειρωμένων ἐστὶν, οἱ νομίμως γυναιξὶν ὁμιλοῦντες. οὓς θεραπεύει τὸ μυστήριον τοῦ γάμου κρεῖσσον γαμεῖν φησὶν ὁ μακάριος παῦλος, ἢ πυροῦσθαι :~

δοσις ἐπικρατεῖ. καὶ βασιλέως οὐρανίου διὰ τοῦ σταυρικοῦ σημείου ἀναδείκνυνται, εἶναι στρατηγοί.

Τὸ δὲ τῶν κοπιώντων ἐστὶν, οἱ κακοπαθοῦντες ὡς καλοὶ στρατιῶται ἰησοῦ χριστοῦ, οἵτινες ἐργάζονται ἐν τῷ ἀμπελῶνι δι' ἐναρέτου ζωῆς καὶ πολιτείας, καὶ ὑπομένουσι πᾶσαν θλῖψιν καὶ στενοχωρίαν, διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, τούτους ὁ κύριος διὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς καὶ τοῦ πανυπερτίμου αὐτοῦ αἵματος, ἀνακουφίζει τῶν πόνων, καὶ θεραπεύει ὑπερφυῶς. καὶ γὰρ καθάπερ οἱ κοπιῶντες τῇ τοῦ μόχθου βίᾳ χαῦνοι μένουσι τῶν ζωτικῶν πνευμάτων τοῦ σώματος αὐτῶν ἐξερχομένων, καὶ δέονται τροφῆς εἰς ἀναπλήρωσιν ἐκείνων· οὕτω καὶ οἱ πνευματικῶς ἀγωνιζόμενοι, τῷ θείῳ ἄρτῳ ῥωννύμενοι καὶ τῷ τιμίῳ αἵματι ποτιζόμενοι, ἀναζωπυροῦνται τῶν καμάτων, καὶ ἐπιλανθανόμενοι τοῦ μόχθου θαυμαστῶς καὶ νεανικῶς αὖθις πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀνδρείως εἰσέρχονται.

Τὸ δὲ, τῶν ἀνισταμένων ἐστὶν, οἱ ὄντες ἐν τῷ ἀμπελῶνι καὶ κοπιῶντες, φθόνῳ δὲ τοῦ ἀρχεκάκου, καὶ τῇ τῆς σαρκὸς ἀσθενείᾳ περιπίπτοντες οἰκτρῶς, ποικίλως τῆς ἁμαρτίας κατατιτρωσκούσης αὐτούς, οὓς ἡ ἁγία μετάνοια προσελθοῦσα ἀνίστησι, καὶ

θαρ·

ὅτι ἑπτά εἰσιν εἴδη τῶν εἰς τὴν πνευματικὴν ἄμπελον
θελόντων ἐργάζεσθαι, τουτέστι
τὸ τῶν εἰσερχομένων,
τὸ, τῶν πολεμούντων.
τὸ τῶν κοπιώντων.
τὸ, τῶν ἀφισαμένων
τὸ, τῶν ἀποδημούντων.
τὸ, τῶν ὑπηρετούντων.
καὶ τὸ, τῶν βουλομένων αὔξειν τὴν ἄμπελον καὶ

τὸ μὲν τῶν εἰσερχομένων ἐστὶ, τὸ σμῆνος τῶν πιστῶν. τῶν διὰ τῆς στενῆς πύλης τοῦ θείου βαπτίσματος εἰσερχομένων. στενὴ γάρ ἐστι διὰ τὴν εὐαγγελίαν. ὁ γὰρ ἀποταξάμενος τῷ σατανᾷ, καὶ συνταχθεὶς τῷ χριστῷ, διὰ πολλῶν θλίψεων, εἰς τὴν βασιλείαν ὀφείλει εἰσελθεῖν. διὸ καὶ ὁ κύριος εἴρηκεν ὅτι θλῖψιν ἕξητε ἐν τῷ κόσμῳ. καὶ ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. τὸ δὲ τῶν πολεμούντων, οἱ αὐτοί εἰσιν οὓς δέον οὐ πρὸς αἷμα καὶ σάρκα μόνον ἀνθίστασθαι, ἀλλὰ καὶ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου. τουτέστι πρὸς, τοὺς αἱρετικοὺς καὶ ἀσεβεῖς καθ' ὅσον ἰσχύουσι. ὅθεν καὶ τῷ θείῳ μύρῳ χρίονται, μετὰ τὴν τοῦ θείου βαπτίσματος τελετήν, εἴτε τῷ μετώπῳ καὶ τοῖς λοιποῖς μέρεσιν ὡς ἡ ἁγία τῆς ἐκκλησίας παρά-

ἐκκλησίας μυστηρίων. ἀπεκδυόμεθα γάρ, τὴν
ἀσχημοσύνην ἤγουν τὸν παλαιὸν ἄνθρωπον, ἐν τῇ
ἀπεκδύσει τοῦ σώματος ἡμῶν, καὶ ἀναλαμβάνο-
μεν αὖθις τὴν θεοΰφαντον ἐκείνην στολὴν διὰ τοῦ
τιμο. ά. ἁγίου βαπτίσματος. ἀποσοβοῦμεν τὴν νόσον
καὶ ἀναλαμβάνομεν τὴν ὑγείαν. ὑγιαίνομεν γὰρ
ἐν τῇ πίστει φησὶν ὁ μακάριος παῦλος, ἀποσμη-
χόμεθα τὴν ἀκαθαρσίαν, καὶ ἀναλαμβάνομεν
τὴν ἁγνείαν. ἡρμοσάμην φησὶν ὁ αὐτὸς παῦ-
λος ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι
χριστῷ. ὁμοίως ἀναλαμβάνομεν τὴν ἰσχὺν, καὶ
πράξεις ἀποβάλλομεν τὴν χαυνότητα. λήψεσθε γὰρ
κδ΄. φησιν ὁ κύριος δύναμιν ἐξ ὕψους. ἀναλαμβάνομεν
τὴν ἐλευθερίαν, οὐκέτι γὰρ δοῦλοι ἐσμὲν τῆς ἁ-
κορ. β΄. μαρτίας. ἀναλαμβάνομεν τὴν εὐλάβειαν, καὶ
ἀποδιώκομεν τὴν ἀναίδειαν, ἔχομεν φησὶν ὁ
ἀπόστολος χάριν δι᾽ ἧς λατρεύομεν τῷ θεῷ εὐαρέ-
στως, μετὰ αἰδοῦς καὶ εὐλαβείας, ἀναλαμβάνο-
μεν, τὴν πρὸς θεὸν ἀγάπην, καὶ τὸ μῖσος κατὰ
ῥωμ. ϛ΄. τοῦ διαβόλου διεγείρομεν. ἐκκέχυται γὰρ ἡ ἀγά-
πη τοῦ θεοῦ ἐν ταῖς καρδίαις ὑμῶν :~

καὶ ἄλλως.

Ἑπτά εἰσι τὰ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τοῦ θεοῦ μυστήρια.

ὅτι

ρέτην προσήκοντα καὶ νόμιμον. καὶ τἄλλα πάντα ὅσα αὐτοῖς ἀνήκει, ἁρμόδως ἔχει καὶ ὑπερφυῶς :~

καὶ ἄλλως.

Τύποι ὑπάρχουν τῶν ἑπτὰ μυστηρίων τῆς ἐκκλη- Βασι-
σίας, τὰ ἑπτὰ λούματα, τοῦ νεεμὰν τοῦ σύρου ἐν λειῶν. δ.
τῷ ἰορδάνῃ. καὶ γὰρ καθάπερ ἐκείνου μετὰ τὸ κεφ. ε.
βαπτισθῆναι ἑπτάκις ἡ σὰρξ ἀπέστρεψεν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη ὅλως, οὕτω καὶ ἡμεῖς διὰ τῶν ἑπτὰ τῆς ἁγίας ἐκκλησίας μυστηρίων, ἀποστρεφόμεθα ὧν ἐπλανήθημεν, καὶ ἀναλαμβάνομεν, ἅπερ ἀπολέσαμεν, καὶ καθαριζόμεθα. καὶ γὰρ μετὰ τὴν ἔκπτωσιν ἀπολέσαμεν τὸ κάλλος τὸ θεοΰφαντον.

τὴν ὑγείαν τὴν διηνεκῆ.

τὴν ἀγνείαν,

τὴν ἰσχὺν,

τὴν καθαρὰν συνείδησιν.

τὴν ἐλευθερίαν.

τὴν εὐλάβειαν

καὶ τὴν θερμότητα τῆς πρὸς τὸν θεὸν ἀγάπης.

ταῦτα πάντα ἀναλαμβάνειν ἠξίωσεν αὖθις ἡμᾶς ὁ πανοικτίρμων θεὸς ἡμῶν, διὰ τῶν ἑπτὰ τῆς

ἐκεῖνα καθαρίζουσι τὸν ἀέρα, οὕτω καὶ τὰ μυστήρια καθαρίζουσι τὸν ὀφθαλμὸν τῆς ψυχῆς, ἀμώμους. καὶ πάλιν καθάπερ ἐκεῖνα τὸ ἔμφυτον ἡμῶν θερμὸν διασώζουσιν. οὕτω καὶ τὰ μυστήρια διατηροῦσι, τὴν πρὸς τὸν Χριστὸν ἡμῶν θερμὴν ἀγάπην. καὶ πάλιν καθάπερ ἐκεῖνα κινοῦνται ὀξέως, οὕτω καὶ τὰ μυστήρια ἀνυπερθέτως κινοῦνται καὶ δωροῦνται τοῖς αὐτὰ πιστῶς τε καὶ εὐλαβῶς ἀπαιτοῦσιν. καὶ πάλιν καθάπερ ἐκεῖνα εἰσὶν πλῆθος ἄπειρον, καὶ ἔργα ποιοῦσι τοῖς ὑπὸ τὴν σελήνην σχεδὸν ἄπειρα, οὕτω καὶ τὰ ἅγια τῆς ἐκκλησίας μυστήρια, πολλὰς καὶ σχεδὸν ἀπείρους, τὰς δωρεὰς καὶ εὐεργεσίας καὶ χάριτας, τοῖς πιστοῖς καὶ ὀρθοδόξοις παρέχουσι. καὶ πάλιν καθάπερ ἐκεῖνα μικρὰ δοκοῦσιν εἶναι τοῖς ὁρῶσι τῷ εἶναι αὐτοὺς πόρρω, καὶ ἐπέκεινα, οὕτω καὶ τὰ μυστήρια ἀτελῆ καὶ ἀνόνητα τοῖς αἱρετικοῖς, καὶ τοῖς πόρρω τῆς τοῦ Χριστοῦ ἀληθοῦς μάνδρας οὖσι δοκεῖ. καὶ πάλιν καθάπερ ἐκεῖνα εὐτάκτως παρὰ τοῦ δημιουργοῦ ἐν τῷ οὐρανῷ ἐτέθησαν, οὕτω καὶ τὰ μυστήρια παρὰ τοῦ Κυρίου εὐτάκτως, καὶ διὰ τῶν αὐτοῦ ἁγίων καὶ πανσόφων μαθητῶν, τῇ ἐκκλησίᾳ παρεδόθησαν. καὶ γὰρ εὐκαίρως ἐπιτελεῖται. καὶ τρόπον ἔχει ἐπιστημονικόν, καὶ ὕλην ἔχει ἐπιτηδείαν. καὶ εἶδος εἰδοποιοῦν, καὶ ὑπη-

ρέτην

μακρόθυμον τῆς ἐκκλησίας, τὸ πρὸς τοὺς ἁμαρτωλούς, ὑποσημαίνει. ἱλαρῷ γὰρ προσώπῳ δέχεται αὐτοὺς καὶ ἱλαροὺς ποιεῖ, διὰ τῆς μετανοίας, καὶ τῶν θείων μυστηρίων :–

καὶ ἄλλως.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια, ὅτι ταῦτα παρεδήλουν οἱ ἑπτὰ ἀστέρες, οὓς εἶδεν ἰωάννης, ἐν ἀποκ. ά. τῇ δεξιᾷ χειρὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὡς τῇ δεξιᾷ τῆς δυνάμεως αὐτοῦ τηρούμενα, καὶ διασωζόμενα. καὶ γὰρ καθάπερ οἱ ἀστέρες ἐν τῇ νυκτὶ ἐνεργοῦσιν, ἀνατείλαντος δὲ τοῦ ἡλίου οὐδὲν λυσιτελοῦσι τοῖς ἀνθρώποις. οὕτω καὶ τὰ ἅγια μυστήρια, ἐνεργοῦσι καὶ ὠφελοῦσιν ἐν τῷ νῦν αἰῶνι, νὺξ γάρ ἐστιν ὁ νῦν αἰών, διὸ καὶ ὁ κύριος μακαρίζει τὸν γρηγοροῦντα δοῦλον ἐν τῇ νυκτὶ ταύτῃ. ἐν δὲ τῷ μέλλοντι αἰῶνι, ὅταν ὁ ἥλιος τῆς δικαιοσύνης ἀναλάμψῃ χριστὸς ὁ θεὸς ἡμῶν, ἀνενέργητά εἰσι, καὶ τοῖς τότε οὐκ ὀνίνησι, καὶ ἄλλως εἶπον τις θεωρητικώτερον, ἐνθυμήσας, ὅτι τὰ μυστήρια παρεικάζεται τοῖς ἄστροις κατὰ τὴν πρὸς αὐτὰ συγγένειαν καὶ ἀναλογίαν. καὶ γὰρ καθάπερ τὰ ἄστρα εἰσὶ στερεὰ ἐν τῷ στερεώματι, οὕτω καὶ τὰ μυστήρια στερεὰ καὶ ἀμετακίνητά εἰσιν ἐν τῇ ἐκκλησίᾳ. καὶ καθάπερ

ἐκεῖνα

καὶ τὰ μυστήρια ἐνεργούμενα, τὰ ἑπτὰ τοῦ θηκ-

ἀποκ. ς΄. ρὸς κέρατα, τὰ ὑπὸ τοῦ ἐπιστηθείου ἰωάννου ὁραθέντα, τουτέστι τὰς ἑπτὰ δυνάμεις, τῶν θαυμασίμων τῆς ἁμαρτίας παθῶν καταθραύουσι. καὶ πάλιν καθάπερ αἱ σάλπιγγες τὰ τείχη κατηδάφησαν, καὶ οἱ περὶ τὸν ἰησοῦν πάντας τοὺς ἐκεῖ ἀνεῖλον, τὴν δὲ ῥαὰβ τὴν πόρνην, καὶ τοὺς αὐτῆς συγγενεῖς ἀναλώτους εἴασαν, οὕτω καὶ τὰ ἑπτὰ μυστήρια τῆς ἁγίας ἐκκλησίας, τὰ τείχη τῆς ἱεριχῶ, ἤγουν τὰ τῆς ἀνθρωπίνης φύσεως ἁμαρτήματα, καταδαφίζουσι καὶ ἀφανίζουσι. τὴν δὲ ψυχὴν καὶ τοὺς συγγενεῖς αὐτῆς, τουτέστι τὰς αὐτῆς δυνάμεις, ἅμα τῷ σώματι καὶ ταῖς αἰσθήσεσιν, οὐδὲν δεινὸν ποιοῦσι, μᾶλλον δὲ διατηροῦσι καὶ διασώζουσι.

καὶ ἄλλως.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια, ὅτι ταῦτα προδιετύπουν οἱ ἑπτὰ λύχνοι οὓς ἑώρα ὁ προφή-

ζαχαρ. δ΄. της ὑπὸ τὴν λυχνίαν ἧς ἑκατέρωθεν τῶν μερῶν φυτὸν ὑπῆρχεν ἐλαίας. καὶ ἡ μὲν λυχνία τὴν ἁγίαν ἐδήλου ἐκκλησίαν. Οἱ δὲ ἑπτὰ λύχνοι τὰ ἑπτὰ μυστήρια αὐτῆς.

Οἱ δὲ κλάδοι τῆς ἐλαίας, τὸ ἱλαρόν τε καὶ τὸ

μα-

ἡ σύνεσις
ἡ γνῶσις,
ταῦτα τὰ ἑπτὰ χαρίσματα, γενναίως κατὰ τῶν ἑπτὰ χωροῦσι θαυμασίμων ἁμαρτημάτων, καὶ ἄκρως ἀφανίζουσιν αὐτά.

Καὶ ὁ μὲν φόβος, χωρεῖ κατὰ τῆς ὑπερηφανίας. ἡ δ' εὐσέβεια, κατὰ τοῦ φθόνου. ἡ δὲ σοφία, κατὰ τοῦ θυμοῦ. ἡ δὲ δύναμις, κατὰ τῆς ἀκηδίας. ἡ δὲ βουλὴ, κατὰ τῆς φειδωλίας. ἡ δὲ σύνεσις, κατὰ τῆς λαιμαργίας. ἡ δὲ γνῶσις, κατὰ τῆς λαγνείας :~

καὶ ἄλλως.

παροιμ. θ'.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια, ὅτι ταῦτα εἰσὶν οἱ ἑπτὰ στύλοι, ἐφ' οὓς τὴν ἐκκλησίαν ὑπερείρησεν, ἡ τῶν ἁπάντων σοφία, Χς.

καὶ ἄλλως.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια, ὅτι ἑπτὰ ἦσαν αἱ σάλπιγγες αἱ τὰ τῆς ἱεριχῶ τείχη καταπορθήσασαι. ταῦτα γὰρ ἐκείνας προεδιετύπουν. καὶ γὰρ καθάπερ ἐκεῖναι ὑπὸ τῶν ἱερέων σαλπιζόμεναι τὰ ἐκείνης τείχη κατέρριπτον, οὕτω

ἰησοῦ τοῦ ναυῆ. ς'.

καὶ

ἰδίαν γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα.

Ἐστὶ τετάρτη ἡ ἀνδρεία, ἥτις ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς. ἡ ἕξις ἀναιρετικὴ δειλίας καὶ θράσους. ταύτην αὖθις ἀποβάλλει, διὰ τοῦ ἁγίου εὐχελαίου ἀναλαμβάνει. καὶ τῷ μὲν σώματι τὴν ῥῶσιν καὶ ἰσχὺν ἀπονέμει. τῇ δὲ ψυχῇ τὴν ἄφεσιν ἀναμφιβόλως παρέχει τῶν ἁμαρτιῶν, παρ' ὧν πλαδαροῦται, καὶ τὰ ἔσχατα θανατοῦται. μάρτυς γὰρ τούτων ἀψευδής, ὁ ὑπὸ κυρίου χειροτονηθεὶς τῆς ἁγίας σιὼν ἐπίσκοπος ὁ ἰάκωβος. φησὶ γάρ, ἀσθενεῖ τις ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ ἐπευξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες ἐλαίῳ, καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσονται αὐτῷ.

καὶ ἄλλως.

ἑπτὰ χαρίσματα τοῦ ἁγίου πνς.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια. Ὅτι ἑπτά εἰσι καὶ τὰ χαρίσματα τοῦ ἁγίου πνς οἷον ἐστίν,

ἠσαΐ. ιδ'.

ὁ φόβος

ἡ εὐσέβεια.

ἡ ἰσχύς.

ἡ βουλή

ἡ σύνεσις

Τῶν δὲ γενικῶν καὶ ἠθικῶν ἀρετῶν, ἡ μὲν φρόνησίς ἐστιν ὡς εἴρηται, ἥτις ἐστὶ κατὰ μὲν τὸν φιλόσοφον, ἀρετὴ τοῦ λογιστικοῦ, κατὰ δὲ τὸν θεῖον μάξιμον, ἕξις ἐπιστημονική, ἀπταίστως τὴν τῶν ὄντων τεων ἀλλεγομένη γνῶσιν. αὕτη τῇ ἱερωσύνῃ συναρμοστέον. Ὅτι τοὺς ἱερεῖς φρονίμους δεῖ εἶναι ὡσεὶ ὄφεις, καὶ ἀκεραίους ὡσεὶ περιστερὰς κατὰ τὸ γεγραμμένον.

Ἡ δὲ δικαιοσύνη, ἥτις ἐστὶν ἀρετὴ ψυχῆς, διανεμητικὴ τοῦ κατ' ἀξίαν. ἡ δὲ διανεμητικὴ τοῦ ἴσου, καὶ τῆς τῶν ὅλων ψυχικῶν δυνάμεων, περὶ θῦ ἰσονομίας, φυλακτική. αὕτη τῷ ἁγίῳ παρεικάζεται μύρῳ. καὶ γὰρ καθάπερ τὸ μύρον, οὐ μόνον καθ' αὑτὸ ἐστὶν εὐῶδες, ἀλλὰ καὶ τοῖς μετέχουσι, τὴν αὐτοῦ μεταδίδωσιν εὐωδίαν. οὕτω καὶ ὁ τὴν δικαιοσύνην ἐνεργῶν, οὐ μόνον τοῖς ἀξίοις ἀπονέμειν ὀφείλει τὸ δίκαιον, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ συνήδεσθαι, δικαιοσύνην εἰδὼς πεπραχότι, καὶ τὴν συνείδησιν ἀεὶ κατακεντοῦσαν μὴ ἔχοντι.

Ἔστι τρίτη ἡ σωφροσύνη, ἥτις ἐστὶν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται περὶ τὰς ἀπολαύσεις τῶν φαύλων ἡδονῶν. αὕτη διὰ τοῦ μυστηρίου τοῦ γάμου θεραπεύεται. Διὰ γὰρ τὰς πορνείας φησὶν ὁ μακάριος παῦλος ἕκαστος τὴν ἰδίαν κορ. α. κεφ. ζ.

ἐλπίς. Ἡ δὲ ἐλπὶς, ἥτις ἐστὶν ἀπόντος πράγματος συνουσία, ἢ προσδοκία ἀγαθῶν, διὰ τῆς μετανοίας προσβεβαιοῦται. φησὶ γὰρ ὁ κύριος, ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω.

ῥωμ. ς'. Καὶ ὁ μακάριος παῦλος πρὸς ῥωμαίους. ἡ ἐλπὶς οὐ καταισχύνει. χριστὸς γάρ φησιν ἐστὶν ἡ
κολασ. α'. ἐλπὶς τῆς δόξης ἡμῶν. ὅθεν ὁ ἐπ' αὐτὸν ἐλπίζων, ἢ ἐπ' ἄλλο τι τῶν κατὰ τὸν βίον μετεωριζόμενος, οἷον ἐπὶ δυναστείαν, ἢ χρήματα, ἤ τι τῶν παρὰ τοῖς πολλοῖς νομιζομένων εἶναι λαμπρόν, οὐ
βασι. ἠθι. δύναται εἰπεῖν κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα.
ιε'. τρίτη ἐστὶν ἡ ἀγάπη. ἥτις ἐστὶν ὁ θεὸς κατὰ τὸν τῆς
ἰωάν. βροντῆς υἱόν. καὶ ὁ μένων ἐν αὐτῇ ἐν τῷ θεῷ μένει. καὶ ὁ θεὸς ἐν αὐτῷ :~

καὶ ἄλλως.

Ἀγάπη ἐστὶν ἡ τῶν ἁγίων πρὸς ἀλλήλους συμψυχία. ἡ ἀγάπη ἐστὶν ἄπαυστος πρόθεσις ἐπὶ τῇ φιλίᾳ τοῦ φιλουμένου, καὶ τὸ προτιμᾶν ἑαυτοῦ ἀεί, ἀπόντα καὶ παρόντα τὸν ἠγαπημένον.

ἡ ἀγάπη ἐστὶν ἕξις ὀρθὴ τῆς ψυχῆς δι' ἧς ποθεῖται
, ὁ θεὸς ἕνεκεν αὐτοῦ. καὶ ὁ πλησίον ἕνεκα τοῦ θεοῦ,
, καὶ γὰρ ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νό-
, μος καὶ οἱ προφῆται κρέμανται.

Τῶν

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας μυστήρια.
ἤγουν τὸ ἅγιον βάπτισμα.
τὸ ἅγιον μῦρον
ἡ ἁγία λειτουργία.
ἡ τάξις τῆς ἱερωσύνης,
ἡ μετάνοια.
ὁ νόμιμος γάμος,
καὶ τὸ εὐχέλαιον.

Καὶ διατί εἰσὶν ἑπτά; ὅτι ἑπτά εἰσι καὶ αἱ ἀρεταί. τρεῖς δηλαδὴ θεολογικαί, καὶ τέσσαρες γενικαί τε καὶ ἠθικαί. καὶ θεολογικαί εἰσιν,
ἡ πίστις
ἡ ἐλπὶς
καὶ ἡ ἀγάπη.

Καὶ ἡ μὲν πίστις, ἥτις ἐστὶ πραγμάτων ἐλπιζομένων ὑπόστασις, τελειοῦται διὰ τοῦ ἁγίου βαπτίσματος. φησὶ γὰρ ὁ ἅγιος βασίλειος ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῶν περὶ τοῦ ἁγίου πνς. παῦλ. βασιλ.

› Ὅτι ἡ πίστις τελειοῦται διὰ τοῦ βαπτίσματος.
› Τὸ δὲ βάπτισμα θεμελιοῦται διὰ τῆς πίστεως.

Ἔτι ὁ μακάριος παῦλος ἐν τῷ ἑνδεκάτῳ τῆς πρὸς ἑβραίους ἐπιστολῆς φησίν, ὅτι χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι :~ ἑβραί.

σία. δι᾽ ὧν ἁγιαζόμεθα, καὶ δικαιούμεθα, καὶ υἱοθετούμεθα :~

κεφ. δ´. Περὶ τοῦ τί ἐστι μυστήριον.

Μυστήριόν ἐστι πρᾶγμά τι ἱερὸν τῇ αἰσθήσει ὑποπίπτον. ἔχον ἐν ἑαυτῷ δύναμιν θείαν ἐγκεκαλυμμένην, δι᾽ ἧς τὴν σωτηρίαν, καὶ τὰ πρὸς σωτηρίαν τοῖς ἀξίοις παρέχει. εἴπομεν μυστήριον, ὅτι τοῖς μεμυημένοις καὶ ἀξίοις μόνοις προσήκει ταῦτα
ματθ. κεκτῆσθαι, καὶ ἀποκαλύπτειν. μὴ ῥίπτεται τὰ ἅγια φησὶν ὁ κύριος τοῖς κυσί. μηδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων ὡς εἴρηται. εἴπομεν πρᾶγμά τι καὶ τῇ αἰσθήσει ὑποπίπτον, ἵνα μή τις νομίσῃ ὅτι ἐστί τι ἀνύπαρκτον, καὶ ἐκ τοῦ ἡμετέρου νοὸς πεπλασμένον. εἴπομεν ἱερὸν, πρὸς διαφορὰν τῶν μὴ ὄντων ἱερῶν, κυρίως καὶ ἀληθῶς. εἴπομεν, ἔχει δύναμιν θείαν ἐγκεκαλυμμένην, ἵνα δείξω ὅτι παρὰ θεοῦ, διὰ τοῦ ἱερουργοῦ κάτεισιν ἡ δύναμις ἡ ἐν αὐτῷ οὖσα καὶ ἐνεργοῦσα, καὶ οὐχὶ παρά τινος ἄλλου. εἴπομεν εἰς σωτηρίαν, ἢ τὰ πρὸς σωτηρίαν. ἵνα τὰ μὲν, τῶν μυστηρίων ἀναγκαῖα εἶναι ἁπλῶς πρὸς τὴν ἡμῶν σωτηρίαν. τὰ δὲ χρήσιμα καὶ κατά τι, πρὸς αὐτὴν ἐμφανίσω :~

Περὶ

ἁγίοις αὐτοῦ καὶ τὰ ἑξῆς. καὶ ὁ διονύσιος ὁ ἀρεοπα-
γίτης ἐν τῇ τρίτῃ αὐτοῦ ἐπιστολῇ πρὸς γάϊον.
οὕτω φησί. καὶ τοῦτο γὰρ ἰησοῦ κέκρυπται, καὶ
οὐδενὶ λόγῳ, οὔτε νῷ τὸ κατ' αὐτὸν ἐξῆκται μυστή-
ριον, ἀλλὰ καὶ λεγόμενον ἄρρητον μένει, καὶ νο-
ούμενον ἄγνωστον. Ἔτι λέγεται μυστήριον, καὶ
ἡ τοῦ ἱεροῦ εὐαγγελίου διδασκαλία, δι' ἧς τὰ ἔθνη
πιστεύσαντες εἰς ὑπερβάλλουσαν ἀνῆλθον δό-
ξαν. ὅθεν καὶ παῦλος φησὶν ἐν τῷ δευτέρῳ κε- ἐφεσ.
φαλαίῳ τῆς πρὸς ἐφεσίους ἐπιστολῆς. κατὰ ἀ- κεφ. β'.
ποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον. ποῖον;
τὸ τὰ ἔθνη φησὶν ὁ θεῖος χρυσόστομος, ἐν τῇ ἐξηγή-
σει τοῦ αὐτοῦ ῥητοῦ, εἰς μείζονα τῶν ἰουδαίων εὐγέ-
νειαν ἀναγαγεῖν. Ἔτι λέγεται μυστήριον τὸ
τῆς πίστεως, ὡς ὁ αὐτὸς παῦλος ἐν τῷ τρίτῳ κε- τιμο. ά.
φαλαίῳ, τῆς πρὸς τιμόθεον πρώτης ἐπιστολῆς κεφ. γ'.
φησί. Ἔτι λέγεται μυστήριον, τὸ τῆς εὐσεβείας
ὡς ὁ αὐτὸς φησὶ παῦλος. Ἔτι λέγεται μυστή-
ριον, ἡ τοῦ σωτῆρος ἡμῶν ἀνάστασις, καὶ ἡ εἰς οὐρανοὺς
ἀνάληψις. Ἔτι λέγεται μυστήριον καὶ ἡ ἐξανά-
στασις τῆς ἀνθρωπίνης ὅλης φύσεως, καὶ ἡ δευ-
τέρα τοῦ κυρίου ἡμῶν παρουσία. τοσούτων γοῦν ὄν-
των τῶν σημαινομένων τοῦ μυστηρίου, περὶ οὐδενὸς
τούτων ἐστὶν ἡμῖν ἤδη ὁ λόγος, ἀλλ' ἢ μόνον περὶ ἐ-
κείνων, οἷς ἡ ἁγία καὶ καθολικὴ κέχρηται ἐκκλη-
σία.

κλησία τῆς ἀνατολῆς, τὰς ἀφορμὰς λαβοῦσα τοὺς ἀμυήτους τῶν κατηχουμένων, πρὸ τοῦ τὸν χερουβικὸν ὕμνον ἄρξασθαι ἄδεσθαι, προελθεῖν διακελεύεται. ὅσοι κατηχούμενοι διὰ τοῦ ἱεροδιακόνου ἐντέλλεται, προέλθετε, ὅσοι κατηχούμενοι, μήτις τῶν κατηχουμένων μενέτω δηλαδή, ἀλλ᾽ ὅσοι πιστοὶ καὶ τὰ λοιπά.

καὶ ἄλλως.

Μυστήριον λέγεται, παρὰ τὸ μυοῦμαι τὸ διδάσκομαι, καὶ μανθάνω τὰ ἱερά. διὰ τοῦτο καὶ ὁ σωτὴρ τοῖς πρὸς αὐτῷ προσελθοῦσι τῶν μαθητῶν,
ματθ. καὶ διὰ τί ἐν παραβολαῖς λαλεῖ πυνθανομέ-
ιγ'. νοις αὐτόν, τό, ὑμῖν ἔφησεν ἐδόθη γνῶναι, τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν :~

κεφ. γ'. Περὶ τοῦ ποσαχῶς λέγεται τὸ μυστήριον.

Τὸ μυστήριον λέγεται πολλαχῆ. καὶ πρῶτον λέγεται μυστήριον, ἡ τοῦ σωτῆρος ἡμῶν ἔνσαρκος οἰκο-
γαλα. α'. νομία. Διὸ φησὶν ὁ παῦλος ἐν κεφαλαίῳ
, πρώτῳ, τῆς πρὸς γαλάτας ἐπιστολῆς. Τὸ μυ-
, στήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων,
, καὶ ἀπὸ τῶν γενεῶν. νυνὶ δὲ φανερωθὲν τοῖς

ἁγίοις

τοῦ φωτὸς χαραγωγηθέντων, ποῖον τῆς περιτομῆς ὄφελος; μὴ γὰρ πρὸς τὴν τῆς ψυχῆς ἐλευθερίαν τι συμβάλλεται, ἡ τῆς σαρκὸς ἀπόθεσις; οὐκ ἠκούσαν σαφῶς τοῦ θεοῦ λέγοντος, καὶ ἔσται ἐν σημείῳ διαθήκης. μονονουχὶ δεικνύντος ὅτι διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην τοῦ σημείου ἐδεήθησαν. καὶ παρακατιὼν φησὶ. καὶ ἵνα μάθητε ἀκριβῶς ἀγαπητοὶ, ὅτι οὐδὲν τοῦτο πρὸς τὴν τῆς ψυχῆς ἀρετὴν λυσιτελεῖ, ἐξ αὐτῶν τῶν γινομένων συνιδεῖν δυνατόν. καὶ ἔτι, ὅπερ ἐκεῖ ἐργάζεται ἡ περιτομὴ εἰς τὴν τῆς σαρκὸς ἀπόθεσιν, τοῦτο ἐνταῦθα τὸ βάπτισμα, εἰς τὴν τῶν ἁμαρτιῶν ἀπόθεσιν. ἐστὶ δὲ ἡμῖν ὁ λόγος περὶ τῶν μυστηρίων τῆς χάριτος ἀληθῶν ὄντων καὶ ἁγίων καὶ τελείων, καὶ δύναμιν ἐχόντων μακαρίους ἀποκαθιστᾶν τοὺς αὐτῶν πιστῶς μετέχοντας.

Περὶ τοῦ πόθεν μυστήριον. κεφ. β'.

Πόθεν μυστήριον: μυστήριον γοῦν λέγεται, παρὰ τὸ μύειν καὶ κλείειν τὸ στόμα τοὺς μεμυημένους. ὥστε μηδενὶ κοινωνεῖν τῶν ἀμυήτων αὐτό. ὅθεν καὶ ὁ σωτὴρ μὴ ῥίπτειν τὰ ἅγια τοῖς κυσὶν ἐντέλλεται, μὴ δὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. ἐξ οὗ καὶ ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκ-

κλη-

η'. Ὄγδοον τίς ἐστιν ὁ τὰ μυστήρια ἐγκαταστήσας.
θ'. Ἔνατον περὶ τῆς τάξεως τῶν μυστηρίων.

Ταῦτα μὲν οὑτωσὶ συντετυγμένως πως, τοῖς φιλομαθοῦσί τε, καὶ οἷς ἠρύθρει ὁ τοῦ καίνου κατὰ τοῦ ἀδελφοῦ φθόνος, παραθήσειν δεῖν ᾠήθημεν ὡς εἴρηται. παρ' ὧν καὶ συγγνώμην αἰτοῦμεν, ἂν μὴ τῷ ἑλληνικῷ χαρακτῆρι ὅλως ἀκολουθεῖν δοκῶμεν. ἁλιέων γὰρ κατὰ τὸν εἰπόντα ἐσμὲν μαθηταί.

κεφ. α'. Περὶ τῆς τῶν μυστηρίων διαιρέσεως.

ΤΑ μυστήρια τριχῆ διαιρεῖσθαι πέφυκεν, εἴς τε τὰ τῶν ἐθνῶν δηλαδή, καὶ εἰς τὰ τῆς παλαιᾶς διαθήκης, καὶ εἰς τὰ τῆς χάριτος, καὶ τῆς ἀληθείας. καὶ περὶ μὲν τῶν μυστηρίων τῶν ἐθνῶν, οὐδεὶς ἡμῖν λόγος. οὔτε γὰρ ἦσαν ἀληθῆ, οὔτε μὴν λυσιτελεῖ τοῖς ἐνεργοῦσιν. ἀλλ' οὔτε περὶ τῶν μωσαϊκῶν ἡμῖν ὁ λόγος. ἅπερ εἰ καὶ παρὰ τοῦ θεοῦ νενομοθέτηται, ἀλλ' οὐ μακαρίους ἐποίουν τοὺς αὐτοῖς χρωμένους, καὶ γὰρ ἡ περιτομὴ οὐδὲν πρὸς τὴν τῆς ψυχῆς ἐλευθερίαν ἐλυσιτέλει, κατὰ τὸν θεῖον χρυσόστομον. ὃς ἐν τῇ λθ',
, ὁμιλίᾳ τῆς γενέσεως ταῦτά φησιν. νυνὶ δὲ διὰ
, τὴν τοῦ θεοῦ χάριν, πάντως πρὸς τὴν ἀλήθειαν

τοῦ

λῶν ταῦτ' ἄριστα πραγματευσαμένων εἰλήφασι, βραχύτι συνταγμάτιον ἐκθέσθαι οὐ πρὸς ἄλλό-τι ἀφορῶν, ἀλλ' ἢ μόνον πρὸς τὸ διεγεῖραι, τὸ τῶν κρειττόνων, ἤπερ ἡμεῖς ταῦτ' ἐπισταμένων πρόθυμον. καὶ τούτοις λαβεῖν παρασχεῖν, ὅπως δεξιὰν ἱκανωτάτην τῷ γένει ἡμῶν οὐ καλῶς διακειμένῳ, διὰ τὴν τῆς τυραννίδος κατάκτησιν ὀρέξωσι, καὶ εἰς πλάτος τὴν περὶ τούτων ἐπεκτείνωσι πραγματείαν. ἀναγκαίαν οὖσαν καὶ ὠφέλιμον ἐν τῇ ἐκκλησίᾳ. ὅθεν δὲ πρὸ τοῦ εἰς τὴν τῶν μυστηρίων εἰσδῦναι σαφήνειάν τε καὶ ἐγχείρησιν, ταῦτά μοι χρήσιμον καταστρώσασθαι ἔδοξεν :~

α. Πρῶτον δηλαδὴ περὶ τῆς τῶν μυστηρίων διαιρέσεως.

β'. Δεύτερον, περὶ τοῦ πόθεν μυστήριον.

γ'. Τρίτον, περὶ τοῦ ποσαχῶς λέγεται τὸ μυστήριον.

δ'. Τέταρτον, περὶ τοῦ τί ἐστι μυστήριον.

ε. Πέμπτον, περὶ τῆς τῶν μυστηρίων ποσότητος.

ς'. Ἕκτον περὶ τῆς διαφορᾶς τῶν μυστηρίων.

ζ. Ἕβδομον περὶ τοῦ πόσα τῶν μυστηρίων παρέχουσι σφραγίδα ἀνεξάλειπτον, τοῖς ταῦτα λαμβάνουσι.

γενόμενον ἐκ γυναικὸς γενόμενον ὑπὸ νόμον·
ὃς δούλου μορφὴν λαβὼν, διὰ τοῦ ἰδίου αἵματος ἐρρύ-
σατο αὐτούς. καὶ ποίμνην ἱερατικὴν καὶ βασι-
λικὴν ἐγκαταστήσας, ἧς ποιμὴν αὐτῆς γεγονὼς,
ἰω. ιζ. τὴν αἰώνιον αὐτοὺς ἐδίδαξε ζωὴν, ἥτις ἐστὶ τὸ γινώ-
, σκειν τὸν πατέρα τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέ-
, στειλεν ἰησοῦν χριστόν. πρὸς δὲ καὶ πνευματικὰ
ὅπλα, τὰ ἅγια φημὶ μυστήρια, πρὸς προφυλακὴν
αὐτῶν, καὶ πρὸς τὴν τῶν ἐχθρῶν ἄμυναν. εἴς τε
ὑγείαν καὶ σωτηρίαν. ἔτι δὲ καὶ εἰς ἀφαίρεσιν τοῦ
προπατορικοῦ ἐκείνου ἁμαρτήματος ἐγκαταστή-
σας, καὶ ἐπιστάτας χειροτονήσας, καὶ ἐξουσίαν,
τοῦ βαπτίζειν, τοῦ διδάσκειν, τοῦ λύειν τὰς ἁμαρ-
τίας, καὶ δεσμεῖν αὐτοῖς δεδωρηκώς. εἰς οὐρανοὺς ὅθεν
καὶ κατῆλθεν ἀνελθὼν, ἐκ δεξιῶν τοῦ ὁμοουσίου
αὐτοῦ πατρὸς ἐκάθισε, μηδαμῶς τοῦ ποιμνίου ἐπι-
ἡσαΐας. λαθόμενος. Διαβεβαιοῦται γὰρ διὰ τοῦ προ-
, φήτου ἡσαΐου λέγων, μὴ ἐπιλήσεται ἡ γυνὴ τοῦ
, παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα
, τῆς κοιλίας αὐτῆς. εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο
, γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου λέγει κύριος παντο-
κράτωρ. Καὶ ὁ εὐαγγελιστὴς, μεθ' ὑμῶν εἰμὶ ἕως
τῆς συντελείας τοῦ αἰῶνος. Τούτων γοῦν οὑτωσὶ
ἐχόντων περὶ τῆς πραγματείας τῶν μυστηρίων
τῶν εἰρημένων ἔδοξεν ἡμῖν, ἀφορμὰς ἀπὸ πολ-

Τοῦ ταπεινοῦ Γαβριὴλ μητροπολίτου Φιλαδελφείας, τοῦ ἐκ Μονεμβασίας τοῦ Σευήρου συνταγμάτιον περὶ τῶν ἁγίων μυστηρίων.

Μεγάλαι εἰσὶν αἱ εὐεργεσίαι καὶ δωρεαὶ, τοῦ με-
γάλου θεοῦ καὶ πατρὸς, ἃς ἐξέχεε πλουσίως, εἰς
τὴν τῶν ἀνθρώπων φύσιν, καὶ πρὸ τῆς παραβάσεως
ἐκείνης, καὶ μετὰ τὴν ὅλην αὐτῆς ἀθλίαν πτῶσιν.
καὶ γὰρ οὐ διέλειπε διά τε κτισμάτων, καὶ διὰ θαυ-
μάτων, διά τε προφητῶν καὶ νόμων, γραπτοῦ τε
καὶ φυσικοῦ, εἰς τὴν τελείαν αὐτοῦ εἰσαγαγεῖν
ἀγαθότητα, ἥτις ἐστὶ τὸ γινώσκειν αὐτόν. οὐ γὰρ πράξεις
ἀμάρτυρον φησὶν ὁ ἱερὸς Λουκᾶς ἀφῆκεν ἑαυτὸν, ιδ.
ἀγαθοποιῶν οὐρανόθεν ἡμῖν διδοὺς ὑετοὺς καὶ και-
ροὺς, ἐμπιπλῶν τροφῆς, καὶ εὐφροσύνης τὰς καρ-
δίας ἡμῶν. Ὅταν δὲ διὰ τῶν εἰρημένων, πρὸς τὴν
αὐτοῦ γνῶσιν τοὺς ἀνθρώπους ἐλθεῖν ἑώρακεν οὐ βουλο-
μένους, ἀλλὰ τῇ κτίσει μᾶλλον λατρεύειν, ἢ αὐτῷ
προαιρουμένους, ἀπείρῳ ἐλέει κινηθεὶς, οὐκ ἔφε-
ρεν ὁρᾶν τὸ γένος τῶν ἀνθρώπων ὑπὸ τοῦ δια-
βόλου τυραννούμενον, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ


I·N·R·I·

ὐ γὰρ τὰ πρὸς σωτηρίαν συντείνοντα μόνον εὑρή-
σεται, ἀλλὰ καὶ ἐπεράτιμα κατ' ἔφεσιν ὑμῶν γε-
γραμμένα. ἔσται δὲ ξυνθῶ τοῖς μὲν, ἐπιστήμοσιν
οἷα τις ἀνάμνησις. Τοῖς δὲ πολυπειρίαν
ποθοῦσιν, ὠφέλεια. Τοῖς δέ γε ἄλ-
λως ἔχουσιν, ἀρχὴ γνώσεως,
καὶ ἄντικρυς ἀπε-
λασία, τῆς τού-
των ἀ-
γνοίας καὶ ἀποσόβησις.
Ἔρρωσθε.

ἐν τῇ ἐμῇ περὶ θεοσόφοις ἀνδράσιν ἀναθῆναι δεῖν ᾠήθημεν. περὶ δ᾽ ἀφημὶ ὡς καὶ ὁ καπνὸς ὁ μηερικότερον φανῆναι μᾶλλον ἐμοὶ ποθεινός, τῆς τοῦ κροίσου ἐκείνης εὐδαιμονίας, ἣν οὐ μόνον ἡ φύσις ὀχυρώσασα τοῖς ὅπλοις, οὐκ ἀνάλωτον εἶναι ἐποίησεν, ἀλλὰ καὶ οἱ πάλαι ἀοίδιμοι τῶν βασιλέων, μαυρίκιός τε ἐκεῖνος ἀλέξιός τε ὁ κομνηνός, καὶ ἀνδρόνικος ὁ παλαιολόγος, ἐν διαφόροις καιροῖς, τότε ἄστυ καὶ τὴν αὐτοῦ μητρόπολιν, δωρεαῖς τε καὶ προνομίοις κατελάμπρυναν. καὶ τὸν αὐτῆς ποιμένα τῆς πελοποννήσου ἁπάσης ἔξαρχον εἶναι. κἀν ταῖς θείαις καὶ ἱεραῖς τελεταῖς ἐπιφημίζεσθαι λαμπρῶς, θεσπίσαντες ἐκέλευσαν. τοιγαροῦν δεχθείητε ταύτην ἡμῶν ὡς ἀπαρχὴν τίμια τῶν πόνων σπουδὴν, ἐν ᾗ οὐ μόνον τὸν θεωρητικὸν ὑμῶν βίον, οὗ τὸ τέλειον ἐν τῇ γνώσει τῆς ἀληθείας κεῖται, νοῦς γὰρ ἐνέργεια ἐστὶν ἡ θεωρεία πρὸς τὰ νοητὰ δυνήσεσθε λαμπρῦναι, ἀλλὰ καὶ τὸν πρακτικόν, οὗ τὸ τέλειον, ἡ διὰ σώματος γινομένη τῆς λογικῆς ψυχῆς ἐνέργεια ἐστίν. ὥστε διὰ μὲν, τοῦ τῆς θεωρείας, ὁμοιωθείητ᾽ ἂν τῷ μόνῳ καὶ πρώτῳ νοΐ. Διὰ δὲ, τῆς ἐναρέτου πράξεως, τῷ ὑπὲρ ἡμῶν τὴν τοῦ δούλου μορφὴν λαβόντι. μὴ τοίνυν ἀντιβολῶ τὸν βραχὺ τουτονὶ πόνον συνεχῶς διερχόμενοι ὀκνηρῶς διάκεισθε.

οὐ γὰρ

Τοῖς ἐν τῇ Ἐπιδαύρῳ τῇ λακωνικῇ θεοσεβεστάτοις κληρικοῖς καὶ τοῖς λοιποῖς, Γαβριὴλ ὁ μητροπολίτης φιλαδελφείας ὁ Σευῆρος εὖ πράττειν.

Ἄλλοι μὲν ἄλλοις τῶν τε κοσμίων καὶ λαμπρῶν, τὴν σφῶν κοσμεῖν κατεπείγονται πατρίδα. καὶ ταύτῃ ἀρήγειν ὅπλοις ἢ αἵμασιν ἰδίοις, ἢ πλούτου περιουσίᾳ ἐπαίρονται. ἐστὶ γὰρ τῶν θέμις, καὶ ὑπὸ τῆς φύσεως αὐτῆς διδασκόμενον. ἡμεῖς δὲ τῆς μὲν τυραννίδος ταύτην ἀπαλλάξαι, οὐ δυνάμεθα, πλούτῳ δὲ πάλιν ταύτην εὐεργετῆσαι, οὐκ εὐποροῦμεν. πολλοστὸν δὲ μόριον καὶ τοῦτο ὥς φασιν ἄκρῳ δακτύλῳ ὑπὸ τῆς ἄνωθεν λαβόντες προνοίας, τὸ πονηθὲν μικρὸν παρ' ἡμῶν περὶ τῶν ἁγίων μυστηρίων ἐγχειρίδιον, ὅ, συνεπτυγμένως πως παρ' ἐνίων τῶν ταῦτ' ἄριστα πραγματευσαμένων ἀναμάξαντες, ὑμῖν τοῖς

ἐν τῇ

BIBLIOTHECA PALATI
VINDOBONENSIS.

ΤΟΥ ΤΑΠΕΙΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ

Φιλαδελφείας Γαβριήλ,

Ἐπιτρόπου καὶ ἐξάρχου πατριαρχικοῦ Συνταγμάτιον περὶ τῶν ἁγίων καὶ ἱερῶν μυστηρίων.

CON PRIVILEGIO.



Ἐτυπώθη ἐν Βενετίαις παρὰ Ἰωάννῃ Ἀντωνίῳ τῷ Πινέλῳ. α χ'.

Con licentia de'Superiori.

8. J. 1.

A

MENTEM ALIT ET EXCOLIT

K.K. HOFBIBLIOTHEK
ÖSTERR. NATIONALBIBLIOTHEK

8.J.1

8. 7. 1.